aggressus est fugam: et ab
oriente usque ad occidentem per
uenit: nusquam sibi uitam
nisi in fuge subsidio sperans.
Is igitur urbem romam ingressus.
utens adminiculo assistentis
sibi et adherentis demonis uir
tutis quam paredrum [...]:
breui tempore in tantum malorum
uenit profectum: ut etiam symu
lachri a ciuibus romanis tanquam
deus honore potiretur. XIII

Sed non in longum permanet:
fraude quesita diuinitas.
Continuo namque in ipsis clau
dii temporibus clementia diuine
prudentie probatissimum om
nium et apostolorum maximum
[...] magnificentia et uirtu[...]

dicationis uerbo primus in
roma euangelii sui clau[...]
Ianuam celestis regni ap[...]
[...]eritur cum romane urb[...]
clarum uerbi dei lumen [...]
exortum: symonis quide[m te]
nebre cum suo auctore [...]
te sunt. Sermo autem uerita[tis et]
lucis, qui per petrum predica[...]
uniuersorum mentes placido
[...]straut auditu: ita ut co[...]
audientibus cum ulla saci[etas]
fieret. Unde cum neque au[...]
sola eis sufficeret: marci [dis]
cipulum eius [...] pe[...]
[...] ut [...]
predicabat [...]
commonitionem [...]
tur traderet: et domesti[...]

Ce 611

philol. 314.

Ha. 44.

# DIVI GREGORII NAZIANZENI:

## Poematum quædam ſelectiora:

Seorſim edita in vſum Græcæ linguæ & ſinceræ pietatis ſtudioſorum. Quin enim huius ſummi theologi ſcripta omnia theologis ipſis cognoſcenda ſint, dubium eſſe nemini poteſt. Quos vero hinc arceat, oſtendit ipſe hoc ſuo epigrammate,

κατὰ τοῦ πονηροῦ.

Φεῦγ' ἀπὸ τᾶς γραμμᾶς ὦ βάρβαρε, μή με δόχλει:
φεῦγε πονηρὸς ἅπας: χριστὸς ἐμοὶ γράφεται:
Μή με φύγῃ τὸ νόημα συνηγμένον: ἔῤῥετε πάντες,
ὃς μὴ χριστὸς ἄγει τῆλ' ἀπὸ τῶν χθονίων.

*A tabula procul hinc fuge barbare: & eſſe moleſtus*
*Deſine: ego Chriſtum pingo: fuge ergo procul:*
*Ne mihi turbetur bene mens collecta: perite,*
*Qui Chriſto duce non tenditis ad ſuperos.*

*ROSTOCHII*
*Typis Stephani Myliandrj.*

CIↃ. IↃ. XXCII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-185621-p0003-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-185621-p0004-3

# JOANNES CASELIVS
## S. D.
# IOANNI APHELIO,
## Ioannis, præfecti Verdensis F.

*STAtim ut profectus tuos in litteris vidi, puer suauißime, ingenium etiam tuum cognoui, & animum. Ingenium ita nobile & prorsus aureum exosculatus sum: animum multo magis amaui, inflammatum ita maturè cupiditate sapientiæ. De utroque tibi gratulor, censeoque ut animum confirmes, ingenio utaris: gratulor etiam, quod & aliis ad hoc iter necessariis abundas, quæ multi desiderant. Habes enim patrem Joan. Aphelium, virum humanißimum, qui idem velit & poßit te liberaliter in otio litterarum alere: nactus es præterea ducem studiorum Detleuum Rascium, de cuius eruditione amici, docti vi-*

ri, præclarè ſentiunt, de fide etiam, tam apud nos quàm iſtic, omnibus conſtat, tui amantiſsimum: etſi ei in te amando non cedo. Atq; iccirco, vt tibi meum erga te amorem teſtatum facerem plenius; exaraui ad te hoc litterarum: ſed ne prorſus inanis eſſet epiſtola, egoq́; non minus apud te proficerem, quàm ſi volumen cohortationum ſcriberem; addidi munuſculum, vt qui ex amici hortis domum liberis poma ferunt. Tu perge, qua cæpiſti, cumq́; in vtriusq; linguæ initiis æquales iam ſuperes, & ex maioribus aliquos æques, vtramq; tuam facere labora: quod paucis annis, paruo negotio, immo ludibundus conſequeris: quando quod non inuitus, ſed libens & cupidè facias, graue eſſe non ſolet. Unde princeps ille & magiſter oratorum aſſeuerare non dubitauit: eum, qui amore doctrinæ incenſus ſit, copiam illius certò ſibi deniq; comparaturum. Ordine feceris, ſi ante pubertatem linguas haſce nobiles perdidice-

*didiceris. Eas ego Mineruæ arculas appellare ſoleo, quibus condit opes ſuas illa conda proma ſapientiæ: atq; ipſa tibi eas, tua erga ſe pietate victa, recludet aliquando, vt inde, quantum velis, plena manu ſumere, & diteſcere optimo illo modo poßis. Perge modo, (patere, vt idem denuo dicam mei in te amoris abundantia) et in dies magis magisq; da operam, vt exſpectationi, quam de te apud nos concitaſti profecto magnam, nosq; patri tuo multis verbis confirmauimus, reſpondeas. Magis ego & multi vnà mecum te amabunt: vt non dicam de ceteris, quæ conſequeris ampliſsima. Vale. Roſtochio, VII. Kal. Xbris.*

*Anno*

CIↃ. IↃ. XXCI.



rPH

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ
## ΝΑΖΙΑΝΖΗΝΟΥ ΠΟΙΗΜΑ-
## ΤΩΝ ΕΚΛΟΓΗ.

### πρὸς τὸν αὑτοῦ θυμόν.

Ὄμμα βλέπον ἄνω, χθονίων δ' ἐπιλήθεο πάντων,
Μὴ δή σε νικήσῃ πρὸς κακότητα δέμας.
Τύμβος μὲν βίος οὗτος: ὁ δ' ὄλβιος, ὡς ἐν ὀνείρῳ,
Τέρπεται: ἀλλοίη δ' ἄλλος ἔκυρσε τύχῃ.
Μούνης δὲ ζωῆς καθαρῆς βίος ἔμπεδος αἰεί,
καὶ πολὺς, ὃν ζώειν ἐστὶν ἀρειότερον.

### Θρῆνος.

Ὤ μοι ἐγὼν, ὅτι δή με πρὸς οὐρανὸν ἠδὲ θεοῖο,
Χῶρον ἐπειγόμενον, σῶμα τόδ' ἀμφὶς ἔχει:
οὐδέ πῃ ἔκβασίς ἐστι πολυπλανέος βιότοιο,
καὶ στυγερῆς κακίης, ἥ μ' ἐπέδησε κάτω,
πάντοθεν ἀπροφάτοισι περικτυπέουσα μερίμναις,
Βοσκομέναις ψυχῆς κάλλεα καὶ χάριτας:
ἀλλά με λῦσον ἄναξ, λῦσον χθονίων ἀπὸ δεσμῶν
καὶ με χοραστασίῃ τάξον ἐν οὐρανίῃ.

### Περὶ τοῦ ἐπικήρου τῆς ἀνθρωπίνης φύσεως.

Κόσμε φίλ', οὐ φίλε πάντα, τί μ' ὡς τροχὸς ἀμφιέλικτος
Ῥοιζηδὸν φορέεις ἀντιπορευόμενον,
μύρμηχ' ὡς ὀλίγον πικρὴν φορὰν ἀσχαλόωντα;
ἔμπαγε μὴν φορέεις πόσον ἰόντα πόσος.

Vox est Apolinaris in Psal. usitata

οἶδα

οἶδα μὲν ὡς θεόθεν σὺ θεοῦ κλέος· ἀλλὰ καὶ αὐτὸς,
Χριστοῦ χειρὶ πάγην πλεκτὸς ἀπ' ἀμφοτέρων,
οὐρανίων, χθονίων τε· τὸ μὲν δέμας ἔνθεν ἐτύχθη,
ψυχὴ δ' αὖ μεγάλου ἐστὶν ἄημα νόου·
ἀλλὰ καὶ ὡς πολλοῖσιν ἐλαύνομαι ἔνθα καὶ ἔνθα
πήμασιν, ἐξ ἐμέθεν πήμασι δυσμενέος·
δελφὶς δ' ὡς ἐπὶ χέρσον ἁλίδρομος ἤδη θνήσκω·
κόσμε, παρῆλθον ἐγώ, λαὸν ἄτρωτον ἄγοις.

Ἄλλο.

Ἀλλήλοις μὲν ἐγώ τε καὶ ὁ χρόνος, ὡς πετεηνὰ
ἢ νέες ἐν πελάγει ἀντιπαρερχόμεθα,
Ἐκτὸς οὐδὲν ἔχοντες· ὃ δ' ἤμπλακον, οὐ παραθρέξει,
ἀλλὰ μένει, ζωῆς τοῦτο μογηρότατον.
οὐδ' ὅ,τι ῥέξομ' ἔχω, ζῆσαι πλέον, ἠὲ λυθῆναι,
τάρβος ἐπ' ἀμφοτέροις. ὧδε γὰρ φράζεό μοι.
ζωή μοι πολύμοχθος ἁμαρτάσιν· εἰ δὲ θάνοιμι,
αἲ αἲ τῶν προτέρων οὐδὲν ἄκος παθέων.
εἰ ζωὴ τόδε σοι τεκμαίρεται, ἧς τόσον ἄχθος,
οὐδὲ τὸ λυθῆναι λύσιν ἔχει καμάτων.
κρημνὸς δ' ἀμφοτέρωθε. τί ῥέξομεν; ἓν τόδ' ἄριστον,
λεύσσειν πρός σε μόνον, σήν τ' ἀγανοφροσύνην.

Κατὰ τοῦ πονηροῦ.

Ἤλυθες ὦ κακοεργέ· νοήματα σεῖο γινώσκω·
ἤλυθες, ὄφρα φάοις με, φίλης τ' αἰῶνος ἀμέρσῃς·
Δύσμαχε, πῶς φάος ἦλθες, ἐὼν ζόφος; οὐκ ἀπατήσεις
Ψευδόμενος. πῶς πικρὸν ἐμοὶ μόθον αἰὲν ἀγείρεις,
Ἀμφαδίην λοχόων τε; τί δ' εὐσεβέεσσι μεγαίρεις;
Ἐξέτι τοῦ, ὅτε πρῶτον Ἀδὰμ βάλες ἐκ παραδείσου,
Πλάσμα θεοῦ, κακίῃ δὲ σοφὴν ἐλόχησας ἐφετμὴν,

Καὶ

Καὶ πικρὴν γλυκερῇ ζωῇ πόρσυνας ἐδωδήν.
Πῶς σε φύγω; τί δὲ μῆχος ἐμοῖς παθέεσσιν ἐφεύρω;
Τυτθαῖς μὲν πρώτιστον ἁμαρτάσιν, οἷα ῥέεθρον
Ἐμπίπλεις κραδίῃσιν. ἔπειτα δὲ χῶρον ἀνοίγεις
Εὐρύτορον· μετέπειτα ῥόος θολερός τε μέγας τε
Ἤλυθεν, ἄχρι χάος με λάβοι τεὸν, ἠδὲ βέρεθρον·
Ἀλλ' ἀποχάζεο τῆλε, τεὰς δ' ἐπὶ χεῖρας ἰάλλοις
Ἔθνεσιν ἢ πολίεσσιν, ὅσαι θεὸν οὐκ ἐνόησαν·
Αὐτὰρ ἐγὼ, Χριστοῖο λάχος, νηός τε τέτυγμαι,
Καὶ θύος· αὐτὰρ ἔπειτα θεὸς, θεότητι μιγείσης
Ψυχῆς· ἀλλ' ὑπόεικε θεῷ, καὶ πλάσματι θείῳ·
Ἀζόμενος μῆνίν τε θεοῦ, ψυχὴν τε χρείην
Εὐσεβέων, ἦχόν τε διηνεκέεσσιν ἐν ὕμνοις.

Ἐπιστρεπτικὴ πρὸς θεὸν νουθεσία.

Πῇ σε φέρων Χριστοῖο τόσον ἀπενόσφισε δαίμων,
Κλεπτόμενον γλώσσῃ τε, καὶ οὔασι, καὶ φαέεσσι,
Θυμὲ τάλαν; ποῦ φωτὸς ἐνηέος ἐκτὸς ἐλαύνεις,
Βρασσόμενός τε πόθοισι καὶ ἀργαλέαις μελεδῶσι,
Καὶ σκιόεντα φόβον τρομέων, ἀπάτῃς τε λιγυρῶν
Τηκόμενος, φθινύθων τε χόλου ζείοντος ἐρωαῖς.
Μηκέτι πλάζεο θυμὲ νόου στροφάλιγξιν ἀήτου.
Μὴ δὲ τεῆς ζωῆς ἐπιλήθεο σαρκὶ πελάζων,
Σαρκός τε σκοτίοισι καὶ ἀμφαδίοισι κακοῖσιν.
Πάντα κάτω δονέονται κακαῖς βιότοιο θυέλλαις·
Πάντα χρόνος πτερνοῖσιν ὁμοίια τῇδε κυλίνδει·
Κάλλος, εὔκλειαν, πλοῦτον, κράτος, ὄλβον ἄπιστον.
Αὐτὰρ ἐγὼ, Χριστοῖο δεδραγμένος οὔποτε λήξω
Ἐλπίδος, ἔστ' ἂν ἴδω τριάδος σέλας εἰς ἓν ἰούσης·

Εὖτε

Οὔτε λάχος μεγάλοιο. θεοῦ σάρκεσσι κραθεῖσα,
Εἰκὼν ἡ προτέρη μιχθήσεται οὐρανίοισιν.

Ἀποτροπὴ τοῦ πονηροῦ καὶ τοῦ
Χριστοῦ ἐπίκλησις.

Φεῦγ' ἀπ' ἐμῆς κραδίης δολομήχανε, φεῦγε τάχιστα,
Φεῦγ' ἀπ' ἐμῶν μελέων, φεῦγ' ἀπ' ἐμοῦ βιότου:
Κλὼψ, ὄφι, πῦρ, Βελίη, κακίη, μόρε, χάσμα, δράκων, θὴρ,
Νὺξ, λόχε, λύσσα, χάος, βάσκανε, ἀνδροφόνε:
Ὃς καὶ πρωτογόνοισιν ἐμοῖς ἐπὶ λοιγὸν ἐνῆκας,
Γεύσας τῆς κακίης οὔλιε καὶ θανάτου:
Χριστὸς ἄναξ κέλεταί σε φυγεῖν ἐς λαῖτμα θαλάσσης,
Ἢ κατὰ σκοπέλων, ἢ συῶν ἀγέλην,
Ὡς λεγεῶνα πάροιθεν ἀτάσθαλον: ἀλλ' ὑπόεικε,
Μή σε βάλω σταυρῷ τῷ πᾶν ὑποτρομέει.
Σταυρὸν ἐμοῖς μελέεσσι φέρω, σταυρὸν δὲ πορείῃ,
σταυρὸν δὲ κραδίῃ, σταυρὸς ἐμοὶ τὸ κλέος.
Οὐ λήξεις λοχόων με κακόχολε; οὐκ ἔτι κρημνοὺς,
Οὐ σόδομα βλέψεις, οὐκ ἀθέων ἀγέλας;
Οἳ μεγάλην θεότητα διατμήξαντες ἔλυσαν:
Ἀλλ' ἐπ' ἐμὴν πολιὴν, ἀλλ' ἐπ' ἐμὴν κραδίην.
Αἰεί με δνοφεροῖσι νοήμασιν ἔχθεε μελαίνεις,
Οὔτε θεὸν τρομέων, οὔτε θυηπολίας.
Οὗτος καὶ τριάδος νόος ἔπλετο ἠχέτα κῆρυξ.
Καὶ νῦν τέρμα βλέπει. βόρβορε μὴ μεθόλου,
Ὡς καθαρὸς καθαροῖσιν συναντήσω φαέεσσιν
οὐρανίοις, αἴγλαι εὖτ' ἐπ' ἐμὴν βιοτήν.
Τὰς δὲ χεῖρας τανύω, δέξαθέ με. χαῖρε σὺ κόσμε.
Χαῖρε μογηροφόρε, φείδεο τῶν μετ' ἐμέ.

### Περὶ τοῦ πρὸς θεὸν πόθου.

Μῆτερ ἐμὴ τί μ' ἔτικτες, ἐπεὶ πολύμοχθον ἔτικτες.
Τίπτε με τῷδε βίῳ δῶκας ἀκανθοφόρῳ;
Εἰ μὲν δὴ σὺ πόρησας ἀκηδέα, ὥς τις ἄσαρκος,
Θαῦμα μέγ'· εἰ δ' ἐδάμης, οὐ φιλέουσα τέκες.
Ἄλλην μέν τ' ἄλλος τις ἀνὴρ βιότοιο κέλευθον
Τέμνει γειομόρος, αὐτὰρ ὁ ποντοπόρος,
Θηρολέτης ἄλλός τις, ὁ δ' ἔγχεϊ χεῖρα κορύσσων.
Καί τις ἀοιδοσυνῆς ἴδρις, ὁ δ' ἀθλοφόρος.
Αὐτὰρ ἐμοὶ θεὸς ἔσκε λάχος, καὶ ἄλγεα πολλὰ,
Καὶ νούσῳ στυγερῇ τῇδ' ὀλιγοδρανέειν.
Δάπτέ με, δάπτε μ' ἀλιτρὲ πρὸς χρόνον, αὐτίκα γάρ σε
Λείψω σὺν χαλεποῖς πήμασι γηθόσυνος.
» Μῆτερ ἐμὴ τί μ' ἔτικτες, ἐπεὶ θεὸν οὔτε νοῆσαι
» Οὔτε φράσαι δύναμαι τόσσον, ὅσον ποθέω.
Βαιὴ μέν τις ἐμοί γε νόου περίλαμψεν ὀπωπὰς
Ἰσοφαοῦς τριάδος λάμψις ἐπουρανίης.
Τὸ πλεῖον δ' ὑπάλυξεν, ἔχω δ' ἄχος, ὡς στροπή τις.
Πρίν με φάους κορέσαι, ὦκα παραπταμένη.
Εἰ δέ σε κεῖθεν ἕλοιμι φίλη τριὰς, οὐκέτι μητρὸς
Μέμψομ' ἐμῆς λαγόσιν, εἰς ἀγαθὸν γενόμην.
Ἀλλὰ σάω με, σάω με θεοῦ λόγε, ἐκ δέ με πικρῆς
Ἰλύος ἐξερύσας, ἐς βίον ἄλλον ἄγοις.
Ἔνθα νόος καθαρός σε φαάντατον ἀμφιχορεύει,
Μηκέθ' ὑπὸ σκιερῆς κρυπτόμενος νεφέλης.

### Θρηνητικὸν ὑπὲρ τῆς αὐτοῦ ψυχῆς.

Πολλάκις ἱμερόεντα νέη θαλάμοισι προβᾶσα,
Εἰσέτι παρθενικοῖσι νέκυν πόσιν αἰδομένη περ
Ἀρτίγαμος στίλβουσα πικρὴν ἀνεβάλλετ' ἀοιδήν.
Αἱ δ' ἐνὶ οἱ δμωαὶ καὶ ὁμήλικες ἔνθα καὶ ἔνθα
Ἱστάμεναι γοάουσιν ἀμοιβαδὶς, ἄλκαρ ἀνίης.
Καὶ μήτηρ φίλον υἷα νεόχνοον, οὐκέτ' ἐόντα,
Μύρετ', ἐπ' ὠδίνεσσι νέας ὠδῖνας ἔχουσα.
Καὶ τις ἐὸν πατὴρ ὀλοφύρεται, ὃν διέπερσε
Θοῦρος ἄρης, δόμον ἄλλος, ὃν ὤλεσεν οὐρανίη φλόξ.
Ψυχὴ, σὺ δὲ γόος τίς ἔπαξιος; ἣν κατέπεφνεν
Οὖλος ὄφις, πικρὸν δ' ἐνομόρξατο εἰκόνι λυγρόν.
Δάκρυε δάκρυ' ἀλιτρὲ, τό, σοι μόνον ἐστὶν ὄνειαρ.
Λείψω μὲν θαλίας τε, ὁμηλικίην τ' ἐρατεινήν.
Λείψω δ' αὖ μύθων τε μέγα κλέος, εὐγενέος τε
Αἵματος, ὑψορόφους τε δόμους, καὶ ὄλβον ἅπαντα:
Λείψω δ' ἠελίου γλυκερὸν φάος, οὐρανὸν αὐτὸν,
Τείρεα παμφανόωντα, τά, τ' οὐρανὸς ἐστεφάνωται.
Ταῦτα μὲν ἑψομένοισιν, ἐγὼ δ' ὑπένερθε καμίνου
Δεσμὰ φέρων, νεκρός τε καὶ ἄπνοος ἐν λεχέεσσι
Κείσομαι, ὑστατίοισι γόοις γοάοντας ἰαίνων,
Αἶνον ἔχων καὶ φίλτρον ἀδήειτον οὐκ ἐπὶ δηρόν.
Αὐτὰρ ἔπειτα λίθος τε καὶ ἄμβροτος ἔνδοθι λώβη.
Ἀλλὰ καὶ ὡς τούτων μὲν ἐμὸν κέαρ οὐκ ἀλεγίζει:
Μούνην δὲ τρομέω καθαρὴν πλάστιγγα θεοῖο.
Ὤμοι ἐγὼ, τί πάθω, πῶς κεν κακότητα φύγοιμι
Βένθεσιν ἢ νεφέεσσι λαθὼν βίον; αἴθε γὰρ ἦεν
Ἀμπλακίης τις χῶρος ἐλεύθερος, ὥς τινα θηρῶν
Καὶ νούσων ἐνέπουσιν, ὅπως φυγὰς ἔνθεν ἵκωμαι.
Χέρσῳ μέν τις ἄλυξε πικρὴν ἅλα, ἀσπίδι δ' ἔγχος,

Καὶ κρυεροῦ νιφετοῖο δόμος σκέπας. ἡ κακίη δὲ
Ἀμφίθετος, πολύχωρος, ἀφυκτοτάτη βασίλεια.
Ηλιας πυρόεντι πρὸς οὐρανὸν ἤλυθε δίφρῳ.
Μωσῆς παιδοφόνου ποθ᾽ ὑπέκφυγε δόγμα τυράννου,
Κητείων λαγόνων σκότιον μόρον ἁγνὸς Ἰωνᾶς,
Καὶ θῆρας Δανιὴλ, παῖδες φλόγας. αὐτὰρ ἔμοι γε,
Τίς λύσις κακότητος; ἄναξ σύ με Χριστὲ σάωσον.

## Θρῆνοι.

Αἲ αἲ τῶν παθέων. τί πάθ᾽ ἤλιτον; ἦ ἄρα μοῦνος
    Σῶν καθαρῶν θυέων ἅπτομαι οὐχ ὁσίως;
Ἤ με πυροῖς παθέεσσι καθάρσεαι, ἢ τύφον ἄλλων
    Ἴσχεις, ἢ με φέρεις γυμνὸν ἐπ᾽ ἀντιπάλῳ;
Ταῦτα μὲν αὐτὸς ἄναξ νωμᾷς λόγε, αὐτὰρ ἔγωγε,
    Βαιὸν ὑπὲρ γαίης ἆσθμα φέρω πύματον.
Δάκρυα πάντ᾽ ἐκένωσα, γόος δέ μοι ἔργον ἐτύχθη.
    Μέχρι τίνος παλάμαις κείμεθ᾽ ἐν ἀσεβέων;
Ἀλλὰ μάκαρ στῆσόν με. καὶ εἰ κακὸν, ἀλλ᾽ ἱερῆα
    Μήτις ὀλισθήσῃ πήμασιν ἡμετέροις.
Ὤλετο εὖχος ἔμοι γε, καὶ ἄλγεα σαρκὸς ὄλοιτο.
    Οἴχετ᾽ ἀναστασίη, λῆγε καὶ ἀμπλακίη.
Αἲ αἲ, δάκρυά μοι καταλείβεται ἔνδοθεν ἦτορ
    Γαχνοῦται: διπλῆν νοῦσον ἐπίσχου ἄναξ.
Νοῦσον ἐπίσχου ἄναξ δολώλαμεν. ἦ ἄρα μούνῳ
    Οἶκτος ἀπεκλείσθη σῷ λάτρι Γρηγορίῳ;
Ἢ στῆσον κακότητα, καὶ ἵλαθι σῷ θεράποντι,
    Ἢ τὸ δίδου, θυμῷ τλήμονι πάντα φέρειν.

## Ἱκετήριον.

Χριστὲ φάος μερόπων, πυρόεν στῦλε Γρηγορίοιο

Ψυχῆς

Ψυχῇ πλαζομένῃ πικρῆς βιότου δι' ἐρήμης,
Σχὲς Φαραὼ κακόμητιν, ἀναιδέας ἐργοδιώκτας.
Καὶ πηλοῦ μ' ἀδέτοιο, καὶ αἰγύπτοιο βαρείης
Ἐξερύσαις, πληγῇσιν ἀεικελίῃσι δαμάσσας
Δυσμενέας, λείην δὲ πόροις ὁδόν: ἣν δὲ κίχησιν
Ἐχθρὸς ἐπισπέρχων, σὺ δέ μοι καὶ πόντον ἐρυθρὸν
Τμήξειας, στερεὴν δὲ διεκπεράοιμι θάλασσαν
Σπεύδων ἐν χθόνα δῖαν, ἐμὸν λάχος, ὥσπερ ὑπέστης.
Καὶ ποταμοὺς στήσειας ἀπείρονας, ἀλλοφύλων τε
Κλίναις θούριον ἔγχος ἀγάστονον. εἰ δ' ἐπιβαίην
Γῆς ἱερῆς, μέλψω σε διηνεκέεσσιν ἐν ὕμνοις.
Χριστὲ ἄναξ, τί με σαρκὸς, ἐν ἄρκυσι τοῖσδ' ἐνέδησας;
Τίπτε βίῳ κρυόεντι καὶ ἰλυόεντι βερέθρῳ,
Εἰ ἐτεὸν τεὸς εἰμί, λάχος δὲ σόν, ὥσπερ ἄκουσα;
Ἐκ μέν μοι μελέων σθένος ὤλετο, οὐδέ τι γοῦνα
Ἕσπεται, ἀλλά μ' ἔλυσε χρόνος, καὶ νοῦσος ἀνιγρή,
Τηκεδανή τε μέριμνα, φίλοι τ' ἄφιλα φρονέοντες.
Εἴκειν δ' οὐκ ἐθέλουσιν ἁμαρτάδες, ἀλλ' ἔτι μᾶλλον
Στείβουσ' ἀδρανέοντα, κύνες δ' ὡς πτῶκα λαγωόν,
Ἢ κεμάδ' ἀμφὶς ἔχουσι, λιλαιόμενοι κορέσασθαι.
Ἢ στῆσον κακότητα καὶ ἵλαθι, ἤ μ' ὑπόδεξαι
Δηρὸν ἀεθλεύοντα, καὶ ἄλγεσι μέτρον ἐπέστω,
Ἠλίθης νέφος ἐσθλοῦ ἐμὰς φρένας ἀμφικαλύπτοι.

## Ἐπιτάφιος καὶ συντομὴ τοῦ αὐτοῦ βίου.

Χριστὲ ἄναξ, τί με σαρκὸς ἐν ἄρκυσι τοῖσδ' ἐνέδησας;
Τίπτε με τῷδε βίῳ θῆκας ὑπ' ἀντιπάλῳ;
Πατρὸς μὲν γενόμην θεοειδέος, οὐκ ὀλίγης δὲ
Μητρός, ἐν δὲ φάος ἤλυθον εὐξαμένης.

ἤρξατο, καί μ' ἀνέθηκε θεῷ βρέφος, ἀφροσύνης δὲ
θερμὸν ἔρωτα χέεν ὄψις ἐμοὶ νυχίη.
Χριστὸς μὲν δὴ τοῖα, τὰ δ' ὕστατα κύμασι βράσθην.
ἀρπαλέαις παλάμαις ἤρκεσα, σῶμα λύθην:
ποιμέσιν οὐ φιλίοισι συνέδραμον, εὗρον ἄπιστα:
χηρώθην τεκέων, πήμασι χαζόμενος.
οὗτος Γρηγορίοιο βίος. τὰ δ' ἔπειτα μελήσει
Χριστῷ ζωοδότῃ. γράψατε ταῦτα λίθοις.

Μετανοητικὸν καὶ παρακλητικόν.

Ἐγγὺς ἀγὼν βιότοιο, κακὸν πλόον ἐξεπέρησα,
ἤδη καὶ στυγερῆς τίσιν ὁρῶ κακίης,
τάρταρον ἠερόεντα, πυρὸς φλόγα, νύκτα βαθεῖαν,
τῶν νῦν κρυπτομένων, αἶσχος ἐλεγχομένων:
ἀλλὰ μάκαρ ἐλέαιρε, καὶ ὀψέ περ ἐσθλὸν ὀπάζοις,
ζωῆς ἡμετέρης λείψανον ὑμνέων.
Πολλὰ πάθον καὶ τάρβος ἔχω φρενὶ, μή με διώκειν
τῆς σῆς ἕλξατ' ἄναξ αἰνὰ τάλαντα δίκης.
οἴσω μὲν τὸν ἐμὸν κἀντὸς μόρον ἔνθεν ὀδεύσας,
ἕξας προφρονέως πήμασι θυμοβόροις.
ὑμῖν δ' ἐσσομένοις ἐπιτέλλομαι, οὐδὲν ὄνειαρ
τοῦδε βίου ζωὴ λῦσιν ἔχει βιότου.

Ἡ τοῦ Μωσέως Δεκάλογος.

Τούσδε νόμους ἐχάραξε θεὸς δέκα ἔν ποτε πλαξὶ
λαϊνέαις, σὺ δέ μοι ἔγγραφε σῇ κραδίῃ.

Οὐ γνώσῃ θεὸν ἄλλον, ἐπεὶ σέβας οἷον ἑνόσγε.
Οὐ στήσεις ἴνδαλμα κενὸν, καὶ ἄπνοον εἰκώ.

Οὔ ποτε

Οὔ ποτε μαψιδίως μνήσῃ μεγάλοιο θεοῖο.
Σάββατα πάντα φύλασσε μετάρσια καὶ σκιόεντα.
ὄλβιος, ἣν τοκέεσσι φέρῃς χάριν, ἣν ἐπέοικε.
φεύγειν ἀνδροφόνου παλάμης ἄγος, ἀλλοτρίης τε
εὐνῆς, κλεπτοσύνην τε κακόφρονα, μαρτυρίην τε
ψευδῆ, ἀλλοτρίων τε πόθον, σπινθῆρα μόροιο.

Γνῶμαι δίστιχοι.

Γυμνὸς ὅλος βιότοιο τάμοις ἅλα, μὴ δὲ βαρεῖα
νηῦς ὥστε πόντου ἴοις, αὐτίκα δυσομένη.

Ὡς αἰεὶ κρυεροῖο παρεσταότος θανάτοιο
μνώεο, καὶ θανάτου ἧσσονος ἀντιάσεις.

Αἰεὶ νηὸν ἔγειρε θεῷ νόον, ὥσπερ ἄνακτα,
ἵδρυμ' ἄϋλον ἔχῃς ἔνδοθι σῆς κραδίης.

Γνῶθι σεαυτὸν ἄριστε, πόθεν καὶ ὅς τις ἐτύχθης,
ῥεῖά κεν ὧδε τύχῃς κάλλεος ἀρχετύπου.

Ἦμαρ ἐπ' ἦμαρ ἄγει σε, κυλίνδεται ὅστις ἐλαφρός·
γνώμη δ' εὐπαγέος ἦμαρ ἄλυπον ἔχει.

Ὅς τις ἀπερχομένοισι καὶ ἐρχομένοισι πέποιθε,
ῥεύμασι πιστεύει οὔποτε ἱσταμένῳ.

Ἶσον ἐμοὶ κακόν ἐστι βίος καὶ μῦθος ἀλιτρός,
ὁππότερόν κεν ἔχοις, καὶ θατέροιο τύχοις.

Ὕβρις

ὕβρεις ἄναγνον ἐόντα, περιστέμματα θύεσθαι,
δεινότερον νεκύων λείψανα πάντα σέβειν.

ἵστασο μή ποθ' ὁδοῖο κακῶν, κακὸν οὐ βυθὸν ἕρπειν.
σοὶ στάσις, ὅστις ἔβης ἔκτοθι τῆς κακίης.

τυφλὸς ὁρῶν, ὃς ἐπῆς κακίης οὐκ ὄσσετ' ὄλεθρον
ἴχνια μαστεύειν θηρός, ἄκρων φαέων.

χρήζων δὴ παθέεσσιν ἀκέστορος, ἢν κακὰ κεύθῃς,
οὔποτε σηπεδόνα φεύξεαι ἀργαλέην.

σὸς λόγος, ἔργον ἐμεῖο: ὃς ὁ καλὸν ἔργον ἔρδειν,
οὐ ἐπίην ἐχέτω σύμμαχον ἀμφίβιον.

οὐδεὶς ἦς κόρος ἐστίν. ἐγὼ δέ σε βούλομ' ἄριστε,
ἔργον ἔχειν, ψυχῆς πῆξιν ἀειστρεφέος.

πλουτεῖν δ' αὖ θεότητα μόνην, καὶ κόσμον ἅπαντα,
ἶσον ἀραχναίοις νήμασιν αἰὲν ἔχειν.

πάντα μὲν ἀνθρώπων, ἀλλότρια τοῦδε βίοιο.
ἡ δ' ἀρετή, βροτέῃ τοῦτο μόνον βιοτή.

Δεῦτε δὲ πᾶσι θεοῖο βοᾷ λόγος ἀφθιτόμητις,
ἀθύσετ' ἐπὶ τριάδος γνῶσιν ἐπουρανίης.

Θέλγε νόον, βιότῳ μὲν ὅσοις γάμος ἁγνὸς ἔδησε,
ληνοῖς οὐρανίοις πλείονα καρπὸν ἄγειν.

ὅσσα

ὅσσαι δ' αὖ μεγάλοιο θεοῦ λόγον ἀγκάζεσθε,
νύμφαι παρθενικαὶ, πάντα θεῷ προσάγειν.

αἴγλη παμφανόωσα, μονότροπος, ἀλλ' ἀπὸ κόσμου
θυμὸν ἔχειν, σαρκῶν τηλόθεν ἱστάμεναι.

οὐδεὶς πίστιν ἔχει ἐν χρώμασι, μὴ κραδίῃσι.
ῥεῖά κεν ἔκπλυτ' ἔοι, βένθος ἔμοιγε φίλον.

μήτε δικαιοσύνην τιν' ἀκαμπέα, μήτε φρόνησιν
ἀγκυλόεσσαν ἔχειν· μέτρον ἄριστον ἅπαν.

νωμᾶσθαι καὶ θάρσος, ἐπεὶ θράσος οὐ κράτος ἐστί.
δεῖ σωφροσύνης καὶ τι γαληνὸν ἔχειν.

οἴγειν ἐν λογίοισιν ἑὸν νόον αἰὲν, ἄριστον.
ἴδρις ἐπουρανίων ὧδ' ἂν ἔοις νομίμων.

πρεῦδε μὲν εἶναι ἄριστος· ἀφάνδανε, οἷσιν ἄριστον·
καὶ κακίην τέρπειν, δυσκλεές ἐστι κλέος.

αἰσχρὸν, ἄριστον ἐόντα, συνήγορον ἔμμεν' ἀλιτρῶν.
ἶσον, καὶ κακίης σὸν πόδα ἐντὸς ἔχειν.

χρυσὸς μὲν χοάνοισι δαμάζεται, ἄλγεσι δ' ἐσθλός.
ἄλγος ἀτιμοσύνης πολλάκι κουφότερον.

σπεῦδε ἔκδυσιν ἅπαντα, λίπῃς τὰ σὰ μὴ δὲ τάφοισιν.
ὀρθοδίῃ τιμὴ, δεξιὸν οὔνομ' ἔχειν.

## Περὶ πλούτου τοῦ ἀληθοῦς.

Ἄλλοι μὲν χρυσόν, οἱ δ' ἄργυρον, οἱ δὲ τράπεζαν
τιμῶσιν λιπαρήν, παίγνια τοῦδε βίου.
ἄλλοι δ' αὖ σηρῶν καλὰ νήματα, καὶ γέας ἄλλοι
πυροφόρους, ἄλλοι τετραπόδων ἀγέλας.
αὐτὰρ ἐμοὶ Χριστός, πλοῦτος μέγας, ὃν ποτ' ἴδοιμι
νῷ γυμνῷ καθαρῶς, τἆλλα δὲ κόσμος ἔχοι.

## Τοῦ αὐτοῦ γνωμικὰ δίστιχα.

Ἀρχῆς καλῆς κάλλιστον εἶναι καὶ τέλος,
ὀρθῶς δοκοῦσιν οἱ ὅροι τῶν πραγμάτων.

Ἀρχὴ καλὸν τίκτουσα τοῖς βροτοῖς πέρας,
βίου κάθαρσις ἐνθέως ἀσκουμένη.

Λόγοις πτερωθείς, μὴ πτερῶν ἔξω πέτου.
πτερῶν γὰρ οὐδὲ πτηνὸν ἵπταται δίχα.

Γνῶσις βροτῶν μέγιστον ἐν βίῳ κλέος,
καλὸν δὲ αὕτη τοῖς καλῶς κεχρημένοις.

Κενή σε δόξα μηδόλως συναρπάσῃ,
καὶ γὰρ πανοῦργον ἐστὶ τοῖς ἁπλουστέροις.

Εὖ δρῶν φύλαττε σαυτὸν ἐν τούτῳ μένειν.
ταχὺς γάρ ἐστι πρὸς τὸ χεῖρον ὁ δρόμος.

Γέλως κρατείσθω, καὶ θυμὸς λάβοι πέρας,
ἀργὸς δὲ παντάπασιν εἰργέσθω λόγος.

Θεὸν

Θεὸν φοβοῦ πρώτιστα, καὶ γονεῖς τίμα,
ἱερεῖς ἐπαίνει, πρεσβύτας σεπτῶς ἔχε.

Υἱὸν δίκαια πατρὶ μηδόλως λέγειν,
θυμός θ᾽ ὀξίζει, καὶ πρὸς θυμὸν ἡ φύσις.

Οἷα πρὸς ἄλλου μὴ παθεῖν ὅλως θέλεις,
τοιαῦτα καὶ σὺ μὴ δὲ δρᾶν ἄλλῳ θέλε.

Οὐ δεινὸν ὀργή, δεινὰ τοῖς εἰργασμένοις,
καὶ γὰρ δικάζει τοῖς ὁμοίοις ἡ δίκη.

Χείλη σοφὰ στάζουσιν ἡδίστους λόγους,
φάρυγξ δὲ πικρὸς ἐξερεύγεται μάχας.

Ῥεῖθρα γλυκασμοῦ γλῶσσα βλύζει στωμύλη,
ῥήσεις δὲ φαύλας ἄκριτον γυναικὸς στόμα.

Φίλοι φιλοῦσι καὶ ἃ τοῖς φίλοις φίλα,
ἐχθροὶ δὲ φαυλίζουσιν αἰσχρῶς τοὺς φίλους.

Πτωχοὺς φίλους λάθωσι πλουσίων θύραι,
λαμπραὶ δὲ αὐλαί, πλουσίοις ἀεὶ φίλαι.

Ὕδωρ, ποτὸν φέριστον ἀκεραιοῖ φρένας:
θολοῖ δὲ τὸν νοῦν συλλαβοῦσα κραιπάλη.

Οὐκ οἶδεν οἶνος σωφρονίζειν τὴν φύσιν,
κινεῖ δὲ μᾶλλον ἡδονὰς παροξύνων.

Νοῦς λεπτὸς ὄγκον ἐκδιώκει γαστρός.
τἀναντία γὰρ τοῖς ἐναντίοις μάχη.

Πλουτοῦσι μωροὶ τοῖς ὀνείρασι πλέον,
ἢ χρημάτων ἄβυσσον οἱ κεκτημένοι.

Κρεῖσσον ἄπαις, ἢ μωρὰ κύειν ἔκγονα.
ὁ μὲν γὰρ ἄπαις, οἱ δὲ πολλοὶ καὶ κακοί.

Παντὶ βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος.
πᾶν γὰρ τὸ ἐκ γῆς, γῆ τε καὶ εἰς γῆν πάλιν.

Ποιμὴν ἀμέλγει, εἰ θέλει, καὶ τοὺς τράγους,
ἀλλ' ἀντὶ γάλακτος, αἱμάτων πηγὰς ὕσει.

Βίαζε καὶ σὺ τοὺς ἀτάκτους μὴ λύειν,
τάξιν πρεπώδη καὶ νόμοις ἡρμοσμένην.

Νόμον φυλάττων, τοὺς φόβους ἔξω βάλῃς.
φόβων γὰρ ἔξω πᾶς ὁ τῶν νόμων φύλαξ.

Κύβερνος ἴδμων φεύξεται τρικυμίας,
καὶ δεινὰ πάντα νοῦς σοφὰς φέρων φρένας.

Ζωῆς ἀρίστης μὴ φρόνει τἀναντία.
καὶ γὰρ πρόδηλος τῆς κακίας ἡ πλάνη.

Μέγιστος ἄκμων οὐ πτοεῖται τοὺς ψόφους,
καὶ νοῦς ἐχέφρων πᾶσαν ἐκκρούει βλάβην.

φύλλον

Φύλλων λαγωοὺς ἐκφοβοῦσιν οἱ κτύποι
ἄνδρας δ᾽ ἀνάνδρους αἱ σκιαὶ τῶν πραγμάτων.

Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται,
ἀγνὸς δὲ ῥήτωρ, σύγκρατος ἁρμονία.

Γελῶσιν οἱ πλουτοῦντες ὀρφανῶν ψόγους,
αὐτῶν γελῶσι τὴν θεοῦ τιμωρίαν.

Νόμοις παραδραμεῖται πρὸς ὄλεθρίαν,
ὁ μὴ νόμου φύλαξιν ἐννόμως φέρων.

Πέφυκε τοῖς πένησι μὴ φρονεῖν μέγα.
τοῖς πλουσίοις γὰρ οὐδὲ φροντὶς τοῦ βίου.

Παίδευε μωροὺς, ὡς ἐφικτὸν τῇ φύσει:
ἔξουσι γάρ που καὶ φρένας πρὸς ἐλπίδα.

Πλήττων σίδηρος ἐκπυροῖ καὶ τοὺς λίθους.
σκληρὰ δὲ μάστιξ παιδαγωγεῖ καρδίαν.

Ὅρκους κάλλιστον διδόναι καὶ λαμβάνειν,
ἴσως γὰρ ἄμφω προσκέκρουκας τῇ δίκῃ.

Εἰς αἰῶνα θησαύριζε τὴν ἔξω τέλους.
οὗτος γὰρ ἐκλέλοιπε καὶ πρὸ τοῦ τέλους.

Μὴ δὴ φίλει τὸν ὄλβον, ὃν λύει χρόνος.
ἃ γὰρ χρόνος δόμησε, καὶ λύσει χρόνος.

Κατάντλου ἐστὶν ἡδονὴ τοῖς χρωμένοις,
καὶ ὡς πρόεισιν, οἴχεται λίθου δίκην.

Οὐδεὶς ὑγείας πλοῦτος ἀλγοῦσι πλέον:
σοφῶς καὶ ταύτην ἡ φύσις ἀεὶ θέλει.

Ἦχοι θαλάσσης, ἀνδρὸς ἄφρονος λόγοι:
Βρίθοντες ἀκτάς, οὐ πιαίνουσι χρόας.

Πείθουσι δῶρα καὶ σοφοὺς παραβλέπειν.
Βροτοῖς δὲ θήρα χρυσός, ὡς πτηνοῖς πάγη.

Γῆρας λῦπαι τίκτουσι καὶ πρὸ τῶν χρόνων.
ἃ γὰρ τρόπος καθεῖλεν, οὐ στήσει χρόνος.

Πλοῦτος τάχιστος τῶν κακῶν ὑπηρέτης.
καὶ γὰρ πρόχειρον εἰς κακουργίαν κράτος.

Οὐκ ἔστιν οὐδὲν βέλτιον κτῆμα φίλου.
πονηρὸν ἄνδρα μηδέποτε κτήσῃ φίλον.

Τάξις τιμάσθω, καὶ προηγείσθω κράτους.
κράτος γὰρ αὕτη, καὶ κράτους ἀεὶ φύλαξ.

Νοῦς ἐμμέριμνος, σὴς βιβρώσκων ὀστέα.
θάλλει δὲ σῶμα, φροντίδας παρατρέχων.

Οὐδεὶς κόρος πέφυκε σωφρόνως ἔχειν.
καὶ γὰρ τὸ πῦρ εἴωθε ταῖς ὕλαις θέειν.

Οἶνος.

οἶνος, πάθους ἔγερσις ἐκλελοιπότος.
ὕλη γὰρ εἰσρέουσα ῥώννυσι φλόγα.

Φεύγουσιν ὀργὰς οἱ δίκας δεδοικότες.
θυμὸν γὰρ ἐξάπτουσι πολλάκις δίκαι.

Δεινὸν, πόνοις κάμνοντα προσθεῖναι πόνους.
ἀλλ' οὖν πόνους ἔπαυσε πολλάκις πόνος.

Ἄλλοι μὲν ἄλλων τοὺς πόνους δεδοικότες,
ἄλλοις ὁρῶνται κινδυνεύοντες πόνοις.

Δόξης ἀεὶ φρόντιζε τῆς αἰωνίου:
ἡ γὰρ παροῦσα ψεύδεται καθημέραν.

οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
τὰ γὰρ μετ' ὀργῆς οὐδέπω βουλὴν ἔχει.

Δεινὸν δράκοντες, καὶ κακοῦργον ἀσπίδες:
διπλῆ γυναικὸς δεινότης ἐν θηρίοις.

Γέθουσι γυμνὰ τοὺς ὁρῶντας ὀστέα,
ὡς οὐδὲν ἡμῖν προσφυὲς τῶν ἐνθάδε.

Εἰ λοξὰ βαίνουσι καρκίνων γόνοι,
πεῖραν λάβωσι μητρικῶν βαδισμάτων.

Δώσεις προδήλως ἐκβιάζων τὴν φύσιν,
καλοὺς μαθητὰς ἐκ κακῶν διδασκάλων.

Κόσμει σεαυτὸν τοῖς καλοῖς τεκμηρίοις,
καὶ μὴ πένητος ὀρφανοῦ καταφρόνει.

Θεοῦ διδόντος, οὐδὲν ἰσχύει φθόνος,
καὶ μὴ διδόντος, οὐδὲν ἰσχύει κόπος.

Τίκτεις ἔχιδνα, μὴ φοβοῦ τὰς ὠδῖνας,
ἔχεις λαβοῦσα μητρικοῦ πεῖραν τόκου,

Οὐδεὶς ἀριστεὺς ἐκ προδήλου δειλίας.
νίκαι γὰρ ἐκπράττουσι τὰς εὐφημίας.

Ἀνὴρ ὑπνώδης, ἀρετῆς ὀνειράτων.
μύστης γὰρ ὕπνος φασμάτων, οὐ πραγμάτων.

Εἴωθε πείθειν μὴ θέλοντας ἡ βία,
ἄγχει γὰρ αὕτη καὶ γίγαντας πολλάκις.

Δήμου σφαλέντος, πᾶς ἀγύρτης ἄρχεται.
δῆμος δὲ πάντη τῶν καλῶν ἀταξία.

Ἔργον πάρεργον οὐδαμῶς ἔργον λέγω:
τῶν γὰρ παρέργων καὶ καταφρονητέον.

Ἡ πρὸς τὰ νεκρὰ τῶν χαμαιειφῶν μέλη,
τάξις τιμᾶται, τῶν κυνῶν ἠθροισμένων.

Ἀνθρώπινος βίος.

Τροχὸς ἐστὶν ἀστάτως πεπηγμένος
ὁ μικρὸς οὗτος καὶ πολύτροπος βίος:

ἄνω

ἄνω κινεῖται, καὶ περιπατεῖται κάτω.
οὐχ ἵσταται γάρ, κἂν δοκῇ πεπηγέναι:
φεύγων κρατεῖται, καὶ μένων ἀποτρέχει:
σκιρτᾷ δὲ πολλά, καὶ τὸ φεύγειν οὐκ ἔχει,
ἕλκει, καθέλκει τῇ κινήσει τὴν στάσιν:
ὡς οὐδὲν εἶναι τὸν βίον διαγράφων,
ἢ καπνόν, ἢ ὄνειρον, ἢ ἄνθος χλόης.

### πλούτου καὶ σοφίας σύγκρισις.

ἔφησέ τις που τῶν φιλοχρύσων τάδε,
θέλω τύχης σταλαγμόν, ἢ φρενῶν πίθον.
πρὸς ὅν τις ἀντέφησε τῶν φιλοφρόνων,
ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης.

### Τετράστιχα.

Πρᾶξιν προτιμήσειας, ἢ θεωρίαν;
ὄψις τελείων ἔργων: ἡ δὲ πλειόνων.
ἄμφω μέν εἰσι δεξιαί τε καὶ φίλαι:
σὺ δέ, πρὸς ἣν πέφυκας, ἐκτείνου πλέον.

Μήτ' ἀντίτειναι πᾶσι, μήθ' ἕπου λόγοις,
ἀλλ' οἷς ἐπίστῃ, καὶ ὅσον, καὶ ἡνίκα.
θεοῦ δὲ πλεῖον ὑπέχου, ἢ προστάτει.
λόγῳ παλαίει πᾶς λόγος: βίῳ δὲ τίς;

Η μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ:
μὴ τῇ μὲν ἕλκειν, τῇ δ' ἀπωθεῖσθαι χεροῖν:
ἧττον δεήσῃ τοῦ λέγειν, πράττων ἃ δεῖ:
γραφεὺς διδάσκει τὸ πλέον τοῖς ἐκτύποις.

Υμῖν λέγω μάλιστα τοῖς τοῦ βήματος,
ὀφθαλμὸν εἶναι μὴ σκότους πεπλησμένον,

μὴ καὶ πρόεδροι τοῦ ἡλίου φαινώμεθα.
εἰ γὰρ τὸ φῶς τοιοῦτο, τὸ σκότος πόσον;

Ἄφωνον ἔργον, κρεῖσσον ἀπράκτου λόγου.
βίου μὲν οὐδεὶς πώποθ᾽ ὑψώθη δίχα,
λόγου δὲ πολλοί, τοῦ καλῶς ψοφουμένου.
οὐ γὰρ λαλοῦσιν, εὖ βιοῦσιν δ᾽ ἡ χάρις.

Δῶρον θεῷ κάλλιστόν ἐστιν ὁ τρόπος.
κἂν πάντ᾽ ἐνέγκῃς, οὐδὲν οἴσεις ἄξιον.
ὃ καὶ πένης δίδωσι, τοῦτο προσφέρε.
μίσθωμα πόρνης ἁγνὸς οὐ κομίζεται.

Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
ἣν πραγματεύσῃ, κέρδος. ἀντάλλαγμα γὰρ
μικρῶν τὰ μείζω, καὶ ῥεόντ᾽ ἀϊδίων.
ἣν δ᾽ αὖ παρέλθῃ, καιρὸν ἄλλον οὐκ ἔχεις.

Πολὺς μέν ἐστιν ὁ προκείμενος δρόμος,
πλείων δ᾽ ὁ μισθός, μή, βλέπων τὸ πᾶν ἅμα,
τοῦ παντὸς ἀρθῇς: καὶ πλέεις οὐ πᾶν ἅμα.
καὶ τοῦτο πεῖρα πολλάκις τοῦ δυσμενοῦς.

Μὴ σφόδρα θαρρεῖν, μηδ᾽ ἀπελπίζειν ἄγαν.
τὸ μὲν γὰρ ἐκλύει σε, τῷδε ἀνατρέπει.
τὸ μὲν κατόρθου, τοῦδ᾽ ἔχου, τοῦδ᾽ ὁ φθόνος.
οὐχ ὡς ὁδοῦ τὸ λεῖπον ἀλγεινοῦ πόνον.

Μὴ θερμὸν ἅπτειν, ἐμμένειν δ᾽ οἷς ἂν κρίνῃς.
κρεῖσσον προκόπτειν, ἢ τὶ κόπτειν τοῦ καλοῦ.

καὶ

καὶ γὰρ κακοὺς καλοῦμεν, οὐχὶ τοὺς κάτω,
τοὺς δ᾽ ἡνίχ᾽ ὑψῶσι, πίπτοντας μέγα.

Σπινθὴρ ἀνάπτει καὶ βραχὺς πολλὴν φλόγα,
καὶ σπέρμ᾽ ἐχίδνης πολλάκις διώλεσε.
τοῦτ᾽ οὖν ὁρῶν, ἔκκλινε καὶ μικρὸν βλάβος:
μικρὸν μὲν ὄν, εἰς δὲ μεῖζον ἔρχεται.

Ἐρεύνα σαυτὸν πλεῖον, ἢ τὰ τῶν πέλας.
τὸ μὲν γὰρ αὐτὸς κερδανεῖς, τὸ δ᾽ οἱ πέλας.
κρεῖσσον λογισμὸς πράξεων ἢ χρημάτων.
τὰ μὲν γάρ ἐστι τῆς φθορᾶς, τὰ δ᾽ ἵσταται.

Ὁ νοῦς ἀεί σοι καμνέτω τυπούμενος
θείοις νοήμασίν τε καὶ βίου λόγοις.
γλώσσης δὲ φείδου, καὶ γὰρ εὐκολωτέρα
βλάπτειν, τὸ κέρδος δ᾽ ἧσσον εὖ κινουμένης.

Ὄψις συνήρπασέ με, πλὴν ἀλλ᾽ ἐσχέθη:
εἴδωλον οὐκ ἔστησα τῆς ἁμαρτίας:
εἴδωλον ἔστη: πεῖραν ἐκπεφεύγαμεν.
βαθμοὶ τάδ᾽ εἰσὶ τῆς πλάνης τοῦ δυσμενοῦς.

Κηρῷ τὰ ὦτα φράσσε πρὸς φαύλους λόγους,
ᾠδῶν τε τερπνῶν ἐκμελῆ λιγυσμάτων.
τοῖς δ᾽ αὖ καλοῖς τε, κἀγαθοῖς ἀεὶ δίδου
εἰπεῖν, ἀκοῦσαι, καὶ δρᾶσαι μικρὸν μέσον.

Γέλως, γέλωτος εὖ φρονοῦσιν ἄξιος:
μάλιστα μὲν πᾶς, τὸ πλέον δ᾽ ὁ πορνικός.

γέλως ἄτακτος ἐκφέρει καὶ δάκρυον·
κρεῖσσον κατηφὲς ἦθος, ἢ τεθρυμμένον.

Λῦπαι προσῆλθον, ἡδοναί, θάρρη, φόβοι,
πλοῦτος, πενία, δόξα, δύσκλεια, θρόνοι,
ῥείτωσαν, ὡς θέλουσιν· οὐδὲν ἅπτεται
τῶν οὐ μενόντων, ἀνδρὸς εὖ βεβηκότος.

Ὕψου βίῳ τὸ πλεῖον, ἢ φρονήματι.
ὃ μὲν θεοῖς σε, τῷ δὲ καὶ πίπτεις μέγα.
τεύξῃ δὲ τούτου, μὴ μικροῖς μετρούμενος,
κἂν πλεῖστον ἀρθῇς, εἶ κάτω τῆς ἐντολῆς.

Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ' ἄγαν.
κρεῖσσον γὰρ εἶναι τοῦ δοκεῖν. εἰ δ' ἄμετρος εἶ,
μὴ τὴν κενὴν θήρευε, μήτε τὴν νέαν.
τί γὰρ πιθήκῳ κέρδος, εἰ δοκεῖ λέων;

Αἴνει μὲν ἄλλον, μὴ φρόνει δ' αἰνούμενος.
καὶ γὰρ δέος σε τῶν ἐπαίνων ὑστερεῖν.
μηδ' ἄλλον εὐθύς, πρίν γε τῇ πείρᾳ μάθῃς,
μήπως κακοῦ φανέντος αἰσχύνην ὄφλῃς.

Κακῶς ἀκούειν κρεῖσσον, ἢ λέγειν κακῶς.
ὅταν προσθῇ τις ἄλλον εἰς κωμῳδίαν,
ὡς εὐφρανῶν σε, σαυτὸν ἐγκεῖσθαι δόκει.
ὧδ' ἂν μάλιστα δυσχεράνοις τῷ λόγῳ.

Μηδὲν μέγ' εἴπῃς εὐπλοῶν πρὸ πεισμάτων.
πολλοῖς πρὸς ὅρμον εὐπλοοῦσιν ἔδυ σκάφος.

πολλοὶ

πολλοὶ προσωρμίσθησαν ἐκ τρικυμίας.
μὴ ἀσφάλεια, μὴ ὀνειδίζειν τύχας.

Κρεῖσσον καλῶς βιοῦντα, καὶ πονούμενον
παῤῥησιάσασθαί τι πρὸς τὸν δεσπότην,
ἢ μὴ καλοῖς θάλλοντ᾽ ἀπαιτεῖσθαι δίκην,
εἰ καὶ τὰ πάντα σῷ λόγῳ πορεύεται.

Πρόου τὰ πάντα, καὶ θεὸν κτῆσαι μόνον.
εἶ γὰρ μοριστὴς χρημάτων ἀλλοτρίων.
εἰ δ᾽ οὐ θέλεις τὰ πάντα, δὸς τὰ πλείονα.
εἰ δ᾽ οὐδὲ τοῦτο, τοῖς πολίταις εὐσέβει.

Καλόν τι σιτῶν ἁρπάσαι καὶ τοῦ φθόνου.
χριστὸν χρεώστην μᾶλλον, ἢ τὰ πάντ᾽ ἔχειν:
ὃς καὶ βασιλείαν κλάσματος χαρίζεται.
χριστὸν σκέπεις, τρέφεις τε, τὸν πτωχὸν τρέφων.

Πένης προσῆλθεν, εἶτ᾽ ἀπῆλθε μὴ τυχών.
δέδοικα χριστέ, μὴ κἀγὼ τῆς σῆς χερὸς
χρήζων, ἀπέλθοιμ᾽ ἐνδεὴς ἐμοῖς νόμοις.
ὃ γάρ τις οὐκ ἔδωκε, μηδ᾽ ἐλπιζέτω.

Πένητος ἀνδρὸς οὐδὲν ἀσφαλέστερον.
πρὸς τὸν θεὸν νένευκε, καὶ μόνον βλέπει:
σὺ δ᾽ ἀγκαλίζου. ἀετὸς γάρ, ὡς λόγος
πολύς, καλιᾷ λεπτὸν ὄρνιν ἀμφέπει.

Κρεῖσσον πενία μὴ δικαίας κτήσεως.
καὶ γὰρ νόσος γε τῆς κακῆς εὐεξίας.

λιμῷ μὲν οὔ τις ῥᾳδίως διεφθάρη.
τοῖς δ' αὖ κακίστοις πότμος ἡ μοχθηρία.

Τί δεσπότης ἢ δοῦλος, ἢ φαύλη τομή;
εἷς πᾶσι πλάστης, εἷς νόμος, κρίσις μία.
ὑπηρέτου μὲν, ὡς δὲ σύνδουλον βλέπε:
ὅταν δὲ λυθῇς, τιμιώτερος φανεῖς.

Οἱ δ' οἰκέται τι καὶ μάλιστα οἱ θεοῦ,
μὴ φευγέτωσαν εὖ νοεῖν τοῖς δεσπότους.
ἐλεύθερον καὶ δοῦλον ὁ τρόπος γράφει:
καὶ Χριστὸς ὤφθη δοῦλος, ἀλλ' ἠλευθέρου.

Καλῶς δ' ἀκούων αἰσχύνου, μὴ, δυσγενής.
γένος γάρ εἰσιν οἱ πάλαι σεσηπότες.
γένους προάρχειν κρεῖσσον, ἢ λύειν γένος:
ὡς καλὸν εἶναι, ἢ καλῶν πεφυκέναι.

Θεοῦ μόνου, θείων τε ἀπλήστως ἔχειν,
ὃς τοῖς λαβοῦσι καὶ πλέον χαρίζεται.
διψῶν, τὸ διψᾶσθ' ἀφθόνως ἀεὶ ῥέων.
ἐν τοῖς δὲ λοιποῖς, καὶ φέρειν ἡσσώμενος.

Μὴ πάντα νικᾷν, μηδ' ἀεὶ σπουδὴν ἔχε.
καλῶς κρατεῖσθαι κρεῖσσον, ἢ νικᾷν κακῶς.
καὶ γὰρ παλαιστὴς οὐχ ὁ κείμενος κάτω,
πάντως κρατεῖται, πολλάκις δ' ὑπέρτερος.

Καὶ ζημίου τι: τοῦτο κέρδος πολλάκις,
ὥσπερ καθαίρειν φυτὸν εἰς εὐκαρπίαν.

εἰδὼς

εἰ δ' οὐ καλῶς τι προστιθεῖς, οἷς νῦν ἔχεις,
ὕλῃ φορεῖς πυρός, ἢ νόσον τῷ σώματι.

Εἰ μηδὲν ὄφλεις τῷ θεῷ τιμωρίας,
μὴ δ' αὐτὸς ἴσθι τοῖς ὄφλουσι συμπαθής·
εἰ δ' οἶδας ὀφλῶν, καὶ προάλγησον τὸ πρᾶον.
οἴκτῳ γὰρ οἶκτος τῷ θεῷ σταθμίζεται.

ὅταν ποθ' ὕβρεις ἐκκάῃ τὴν σὴν φρένα,
μνήσθητι Χριστοῦ, τῶν ἐκείνου τραυμάτων,
πόσῃ τε μοῖρα ταῦτα τῶν τοῦ δεσπότου.
ὡς δ' ἂν τὸ λυποῦν, ὥσπερ ὕδατι, σβέσαις.

Ἔρως, μέθη, ζῆλός τε, καὶ δαίμων, ἴσα·
οἷς ἂν προσέλθῃ τὸ φρονεῖν ἐπέκλυσε.
τῆξις, προσευχή, δάκρυον, τὰ φάρμακα.
ἥδ' ἰατρεία τῶν ἐμῶν νοσημάτων.

ὅρκον δὲ φεῦγε πάντα. πῶς οὖν πείσομεν;
λόγῳ, τρόπῳ τε, τὸν λόγον πιστούμενοι.
ἄρνησίς ἐστι τοῦ θεοῦ ψευδορκία.
τί δεῖ θεοῦ σοι; τὸν τρόπον μέσον τίθει.

Τί χρηστότητος δόγμα συντομώτερον;
τοιοῦτος ἴσθι τοῖς φίλοις καὶ τοῖς πέλας,
οἵους σεαυτῷ τούσδε τυγχάνειν θέλεις.
καὶ συντομώτερόν γε τὰ Χριστοῦ πάθη.

Πιστοῦ φίλου νόμιζε μηδὲν ἄξιον,
ὃν οὐ κρατὴρ ἔδειξε, καιροῦ δὲ ζάλη,

ὃς οὐ

ὃς οὐ χαρίζετ', ἢ μόνον τὸ συμφέρον.
ἔχθρας ὅρους γίνωσκε, φιλίας δὲ μή.

Τἆλλα βλέπων ὀφθαλμὸς, αὑτὸν οὐ βλέπει.
ἀλλ' οὐδὲ τἆλλα, ἣν ἄγαν λημῶν τύχῃ.
τούτου χάριν, σύμβουλον εἰς ἅπαντ' ἔχειν.
καὶ γὰρ χερὸς χεὶρ, καὶ ποδὸς ποῦς ἐνδεής.

Εἰ τοῖς καλοῖς ἕποιο νουθετούμενος,
οὐκ ἐντραπήσῃ τοῖς κακοῖς γελώμενος.
ὅταν ποτ' αἰσχρὸν ἐννοῇς, νόμιζέ σοι
πολλοὺς παρεῖναι, καὶ σεαυτὸν ἐντρέπου.

Ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν:
κακοῖς δ' ὁμιλῶν, καὶ κακὸς πάντως ἔσῃ.
κακοῦ παρ' ἀνδρὸς μήποτε χρηστὸν πάθῃς.
ζητεῖ γὰρ, ὧν βίωκε συγγνώμην ἔχειν.

Ἐγὼ κ' κόλακος ἐκλέγω καὶ δυσμενοῦς.
τὰς γὰρ λαβὰς φεύγοντας, ἀσφαλεστέρους
εἶναι παραινῶ, καὶ τὸ πικρὸν φάρμακον:
ὅμως δέδοικα, καὶ τὸ ἡδὺ μέμφομαι.

Καλοὺς ἀμείβου, τοὺς κακοὺς περιφρόνει.
κἂν τοῖσδε κείσθω τοῦ παθεῖν μηδὲν, χάρις,
ὡς ἂν καλοὺς καὶ τούσδε ποιήσῃς χρόνῳ.
τοῦ μακροθύμου χρηστότης, καλὴ δόσις.

Πᾶσι μὲν ἴσθι χρηστὸς, εἰ σῶφρ' ἀθένος,
πλέον δὲ τοῖς ἔγγιστα. τοῦ χάριν λέγω;

τίς ἂν

τίς ἄν σε πιστεύσειε τοῖς ξένοις καλὸν
εἶναι, τὸν οὐ δίκαιον, οἷς ὀφείλεται;

Τί πάντα τὸν δύστηνον αἰτιώμεθα
ἐχθρὸν, διδόντος τοῦ βίου ἐξουσίαν;
μέμφου σεαυτόν, ἢ τὸ πᾶν, ἢ τὸ πλέον.
τὸ πῦρ παρ' ἡμῶν, ἡ δὲ φλὸξ τοῦ πνεύματος.

Μὴ σφόδρ' ἔπεσθαι παιγνίοις ἐνυπνίων:
μηδ' ἐκπλήττου, εἰς ἅπαντ' ἔχειν φρένα:
μὴ δὲ πτοροῦ μοι δεξιοῖς φαντάσμασι:
λόχος τάδ' ἐστὶ πολλάκις τοῦ δυσμενοῦς.

Ἐλπὶς προκείσθω δεξιοῦ παντὸς τέλους.
εἰ γὰρ συνεργός ἐστι τίς τοῦ χείρονος,
πῶς οὐ καλοῦ δίκαιον εἶναι καὶ πλέον;
οὐ γὰρ φθόνῳ γε τοῦ καλοῦ νικώμενος.

Ἡγοῦ τύχης φρόνησιν ἀσφαλεστέραν.
ἡ μὲν γὰρ ἐστὶ πραγμάτων κούφη φορὰ,
ἡ δ' οἰακισμός. μὴ δὲ γοῦν παιδεύσεως
νόμιζε κρεῖσσον, ἢ μόνη κεκτημένων.

Τὸ δραστικὸν δείκνυε, μὴ τὸ δρᾶν κακῶς,
τὸ δ' εὖ τι ποιεῖν, εἰ θέλεις εἶναι θεός.
τόδ' ἐστὶν ἀνδρὸς εἰδότος τὸ συγγενές.
κτείνει δὲ ῥᾶστα καὶ τρυγὼν καὶ σκορπίος.

Αἰσχρὸν, νέον γέροντος ἀσθενέστερον
εἶναι, γέροντα δ' ἀφρονέστερον νέον.

ὅμως ὁ μὲν, καθ᾽ ὥραν ἔσω πάνσοφος.
τὸ δὲ, κράτιστον, καὶ πρὸς ὥραν σωφρονεῖν.

Ἀεὶ μὲν ἐργάζοιο τὴν σωτηρίαν.
καιρὸς δὲ δὴ μάλιστα, ἡ βίου λύσις:
τὸ γῆρας ἦλθεν, ἔξοδον κῆρυξ βοᾷ.
πᾶς εὐτρεπίζου. πλησίον γὰρ ἡ κρίσις.

Γοράς λόγου, διττή τις ἄρνησις θεοῦ,
ἔργῳ, λόγῳ τέ. μὴ κλαπῇς, περισκόπει.
ἀεὶ δίωκε λαθείοις παλαίσμασι,
μή πως δεηθῇς ἐσχάτων καθαρσίων.

Ἴαμβοι παραινετικοὶ μονόστιχοι
κατὰ στοιχεῖον.

Ἀρχὴν ἁπάντων καὶ τέλος ποιοῦ θεόν.

Βίου τὸ κέρδος ἐκβιοῦν καθ᾽ ἡμέραν.

Γίνωσκε πάντων τῶν καλῶν τὰ δράματα.

Δεινὸν πένεσθαι, χεῖρον δ᾽ εὐπορεῖν κακῶς.

Εὐεργετῶν, νόμιζε μιμεῖσθαι θεόν.

Ζήτει θεοῦ σὺ χρηστότητα χρηστὸς ὤν.

Ἡ σὰρξ κρατείσθω καὶ δαμαζέσθω καλῶς.

Θυμὸν

Θυμὸν χαλίνου, μὴ φρενῶν ἔξω πέσῃς.

Ἴσῃ μὲν ὄμμα, γλῶσσα δὲ στάθμην ἔχοι.

Κλεῖς ὠσὶ κείσθω, μὴ δὲ πορνικοὶ γέλως.

Λύχνος βίου σοι παντὸς ἡγείσθω λόγος.

Μή σοι τὸ εἶναι τῶν δικῶν ἀπορρέῃ.

Νόει τὰ πάντα, πράσσε δ᾽ ἃ πράσσειν θέμις.

Ξένον σεαυτὸν ἴσθι, καὶ τίμα ξένους.

Ὅτ᾽ εὐπλοεῖς, μάλιστα μέμνησο ζάλης.

Πάντ᾽ εὐχαρίστως τ᾽ἐκ θεοῦ δέχεσθαι χρή.

Ῥάβδος δικαίου πλεῖον, ἢ τιμὴ κακοῦ.

Σοφῶν θύρας ἔκτριβε, πλουσίων δὲ μή.

Τὸ μικρὸν οὐ μικρόν, ὅταν ἐκφέρῃ μέγα.

Ὕβριν χαλίνου, καὶ μέγας ἔσῃ σοφός.

Φύλασσε σαυτόν, πταῖσμα δ᾽ ἄλλου μὴ γέλα.

Χαίρεις φθονεῖσθαι, τὸ φθονεῖν δ᾽ αἶσχος μέγα.

Ψυχὴν θύοις μᾶλλον ἢ τὸ πᾶν θεῷ.

Ὦ τίς φυλάξει ταῦτα καὶ σωθήσεται;

## ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΒΙΟΥ ΜΑΤΑΙΟΤΗ-
## τος καὶ ἀπιστίας, καὶ κοινοῦ πάν-
## των τέλους.

Ἤθελον ἢ πέλεια τανύπτερος, ἢ χελιδὼν
Ἔμμεναι, ὥς κε φύγοιμι βροτῶν βίον, ἤ τιν' ἔρημον
Ναιετάειν θήρεσσιν ὁμέστιος: οἳ γὰρ ἔασι
Πιστότεροι μερόπων: καὶ ἠμάτιον βίον ἕλκειν,
Νηπενθῆ, νήποινον, ἀκηδέα, ἓν τόδ' ἄθηρον
Μοῦνον ἔχειν, θεότητος ἴδριν νόον, οὐρανοφοίτην,
Ὡς καὶ γαληνιόωντι βίῳ φάος αἰὲν ἀγείρω.
Ἤ τινος ἠερίης σκοπιῆς καθύπερθεν ἀερθεὶς,
Βρονταῖον πάντεσσιν ἐπιχθονίοισιν ἀΰσω.
Ἄνθρωποι θνητοὶ, ῥοιῆς γένος, οὐδὲν ἐόντες,
Οἱ θανάτῳ ζώοντες ἐτώσια φυσιόωμεν,
Μέχρι τίνος ψεύδεσσι καὶ ἠματίοισιν ὀνείροις
Παιζόμενοι, παίζοντες, ἐπὶ χθονὶ μὰψ ἀλάλησθε;
Ἄθρει δὴ πραπίδεσσι τεαῖς ὕπερ πάντας ὀϊζύων,
Ὡς καὶ ἐγώ. δὴ γάρ με θεὸς μέγαν ἴδριν ἔθηκεν
Ἐσθλῶν τε στυγερῶν τε, νόος δ' ἐπὶ πάντα φορεῖται.
Οὗτος ἔην θαλερός τε καὶ ἄλκιμος, εὖχος ἑταίρων,
Ὑψιβιβὰς, μελέεσσιν ἐριζώοισι τεθηλώς.
Οὗτος κάλλιμος ἦεν ἑωσφόρος, ὄμματα πάντων
Ἕλκων, ἔαρος ἄνθος ἐν ἀνδράσιν: οὗτος ἀγαῦσι
Κύδιμος: ἔντεσιν οὗτος ἀρήϊος: οὗτος ἄριστος
Θηροφόνων σταδίοισι, καὶ οὔρεσι κάρτος ἐγείρων:
Οὗτος δ' αὖ θαλίῃσι καὶ εἰλαπίνῃσι μεμηλὼς
Γαίῃ καὶ πελάγεσσι καὶ ἠέρι γαστέρα φέρβων:
Νῦν ῥικνὸς, καὶ ἄναλκις. ἀπήνθηκεν γὰρ ἅπαντα.
Γῆρας ἔβη: τὸ δὲ κάλλος ἀπέπτατο: νεκρὰ τὰ γαστρός:

Βαιὸν

Βαιὸν ἔτ' ἐν μερόπεσσι: τὸ δὲ πλέον, εἰν ἀΐδαο:
Οὗτος δ' αὖ μύθοις πνείων μέγα παντοδαποῖσιν.
Οὗτος δ' εὐηγενέτης τύμβοις φρονέων μεγάλοισιν,
ἢ δέλτοις ὀλίγῃσι νεόγραφον αἷμα λελογχώς:
Οὗτος καρτερόμυθος, ἐνὶ πτολίεσσι μέγιστος
Πανδήμοις στομάτεσσι βοώμενος: οὗτος ἄμετρον
Πλοῦτον, τὸν μὲν ἔχων, τὸν δὲ φρεσὶν ἔνδον ἀέξων:
Οὗτος δ' ὑψιθρόνοιο δίκης πλάστιγξι γέγηθεν:
Οὗτος δ' αἱματόεντι ῥάκει δεσμῷ τε καρήνου
Γαίης κάρτος ἔχων, καὶ οὐρανὸν αὐτὸν ἀτίζει
Θνητὸς, ἐν οὐ θνητῇσι μετήορος ἐλπωρῇσι.
Νῦν τάδε: μικρὸν ἔπειτα κόνις, καὶ πάντες ὁμοῖοι.
Δμῶες, σκηπτοφόροι, θῆτες, πλούτῳ κομόωντες:
Εἷς ζόφος, εἷς δὲ δόμος, τόσσον πλέον ὀφρυόεσσιν,
Ὅσσον κλεινοτόροιο γόου, τύμβου τε τυχῆσαι
Οὔνομά τ' ἐν λάεσσι λιπεῖν ἐπικήδιον οἰκτροῖς:
Ὀψὲ μὲν, ἔμπα δὲ πᾶσιν ἴσον θνητοῖσι τάλαντον
Ὀστέα πάντων ἀφαυρὰ, σεσηρότα, γυμνὰ κάρηνα,
Λῆξε τύφος: πενίην δὲ μόγος λίπε, νοῦσος ἄϊστος,
Ἔχθος, ἀτασθαλίη, πλεόνων πόθος, ὕβρις ἀτειρής:
Πάντ' ἔθανε φθιμένοισιν ὁμοῦ, καὶ πάντα μέμυκεν,
Ἄχρις ἂν ἐγρομένοισι συνέμπορα ἔνθεν ἵκηται.
Ταῦτ' οὖν εἰσορόωντες, ἐμοῖς πείθεσθ' ἐπέεσσι
Παῖδες ἐμοί. παῖδες γὰρ, ὅσον πλέον ἔρυσα πνεῦμα.
Δεῦρ' ἄγε κόσμον ἅπαντα, καὶ ὁππόσα τῷδ' ἀλάληται,
Ῥίψαντες κακότητας ἐπιχθονίου βασιλῆος,
Ἅρπαγος ἀλλοτρίων, δηλήμονος, ἀνδροφόνοιο,
Πλοῦτον ἐϋκλείην, θώκους, γένος, ὄλβον ἄπιστον,
Προτροπάδην φύγωμεν ἐς οὐρανὸν, ἧχί τε πολλὰ

 Κάλλεα

κάλλεα μαρμαίροντα φάος περὶ τριασὸν ἄφραστον:
οἱ δ' ἄλλοι πεσσοῖσιν ἐοικότες ἔνθα καὶ ἔνθα
πίπτοιεν, πεσσῶν τε κυλίσμασι τέρψιν ἔχοιεν,
ἢ δνοφερὴν σκοτόμαιναν ἑοῖς ἐπιειμένοι ὄσσοις
τοίχους ἀμφαφόωντες, ἐπ' ἀλλήλοισιν ἴοιεν.

περὶ τὴν τοῦ βίου ὁδόν.

Τίς, πόθεν εἰς βίον ἦλθον; ἐπεὶ δέ με γαῖα καθέξει,
    τίς πάλιν ἐκ κόνιος ἔσομ' ἀνιστάμενος;
Γῆ δὲ φόρων στήσει με θεὸς μέγας; ἦ ῥα σαώσει
    ἔνθεν ἀναστήσας εὔδιον εἰς λιμένα.
Πολλαὶ μὲν βιότοιο πολυτλήτοιο κέλευθοι,
    ἄλλος δ' ἀλλοίοις πήμασι συμφέρεται.
Κοὐδὲν ἐν ἀνθρώποισι καλὸν, κακότητος ἄμικτον,
    εἴθε δὲ μὴ τὰ λυγρὰ πλείονα μοῖραν ἔχειν.
ὁ πλοῦτος μὲν ἄπιστος, ὁ δὲ θρόνος, ὀφρὺς ὀνείρων.
    ἄρθεσθαι δὲ μόγος, ἡ πενίη δὲ πέδη.
Κάλλος δ', ἀστεροπῆς τυτθὴ χάρις: ἡ νεότης δὲ,
    βράσμα χρόνου: πολιὴ, λυγρὰ δύσις βιότου.
Οἱ δὲ λόγοι πτερόεντες ἀὴρ, κλέος: αἷμα παλαιὸν,
    εὐγενέται: ῥώμη καὶ συὸς ἀγροτέρου.
Ὑβριστὴς δὲ, κόρος, δεσμὸς, γάμος. εὐτεκνίη δὲ,
    φροντὶς ἀναγκαίη. δυστεκνίη δὲ, νόσος.
Αἱ δ' ἀγοραὶ, κακίης μελεδήματα. ἠρεμίη δὲ,
    ἀδρανίη. τέχναι, τῶν χαμαὶ ἐρχομένων.
Στεινὴ δ' ἀλλοτρίη μάζα. τὸ δὲ γαῖαν ἀρόσσειν,
    μόχθος. ποντοπόρων τὸ πλέον, εἰν ἀΐδῃ.
ἡ πάτρη δὲ, βόρεθρον ἐόν: ξενίη δέ τ' ὄνειδος.
    πάντα μόγος θνητοῖς: τἀνθάδε πάντα, γέλως,

Χνοῦς,

Χνοῦς, σκιὰ, φάσμα, δρόσος, πνοιὴ, πτερὸν, ἀτμὶς, ὄνειρος,
οἶδμα, ῥόος, νηὸς ἴχνιον, αὔρα, κόνις,
Κύκλος ἀεικίνητος ὁμοίια πάντα κυλίνδων,
ἑστὼς, τροχάων, λυόμενος, πάγιος,
ὥραις, ἤμασι, νυξὶ, πόνοις, θανάτοισιν, ἀνίαις,
τερπωλῇσι, νόσοις, πτώμασιν, εὐδρομίαις.
καὶ τόδε, σῆς γενετῆρος σοφίης λόγε, ἀστατέοντα
πάντα πέλειν, στασίμων ὥς κεν ἔχοιμεν ἔρον.
πάντα νόου πτερύγεσσιν ἐπέδραμον, ὅσσα παλαιὰ,
ὅσσα νέα. θνητῶν δ' οὐδὲν ἀκιδνότερον.
ἓν μόνον ἀνθρώποισι καλὸν καὶ ἔμπεδόν ἐστιν,
ἔνθεν ἀφορμᾶσθαι, σταυρὸν ἀειρομένους.
Δάκρυά τε, στοναχαί τε, νόος θείοισι μεμηλὼς,
ἐλπὶς, καὶ τριάδος λάμψις ἐπουρανίης
Μιγνυμένης καθαροῖσι, χοὸς λύσις ἀφραδέοντος.
εἰκόνος ἀφθορίη, τὴν λάχομεν θεόθεν,
Ζώειν τ' ἀλλότριον ζωῆς βίον: ἀντὶ δὲ κόσμου
κόσμον ἀμειβομένους, ἄχθεα πάντα φέρειν.

Διαφόρων βίων μακαρισμοί.

Ὄλβιος, ὅστις ἔρημον ἔχει βίον, οὐδ' ἐπιμίσγων
τοῖς χαμαὶ ἐρχομένοις, ἀλλ' ἐθέωσε νόον.
ὄλβιος, ὃς πολλοῖσι μεμιγμένος, οὐκ ἐπὶ πολλοῖς
στρωφᾶτ', ἀλλὰ θεῷ πέμψεν ὅλην κραδίην.
ὄλβιος, ὃς πάντων κτεάνων ὠνήσατο Χριστόν.
καὶ κτέαρ οἶον ἔχει σταυρὸν, ὃν ὕψι φέρει.
ὄλβιος, ὃς καθαροῖσιν ἑοῖς κτεάνοισιν ἀνάσσων,
χεῖρα θεοῖο φέρει τοῖς ἐπιδευομένοις.

ὄλβιος

ὄλβιος ἀζυγέων μακάρων βίος, οἳ θεότητος
εἰσὶ πέλας καθαροῖς, σάρκ' ἀποσεισάμενοι.
ὄλβιος, ὃς θεσμοῖσι γάμου τυτθὸν ὑποείξας,
πλειοτέρην χριστῷ μοῖραν ἔρωτος ἄγει.
ὄλβιος, ὃς λαοῖο φέρων κράτος, εὐαγέεσι
καὶ μεγάλαις θυσίαις χριστὸν ἄγει χθονίοις.
ὄλβιος, ὅστις ἑὸν ποίμνης τέκος οὐρανίοιο
χώραν ἄγει χριστοῦ, θρέμμα τελειότατον.
ὄλβιος, ὃς καθαροῖο νόου μεγάλῃσιν ἐρωαῖς,
οὐρανίων φαέων δέρκεται ἀγλαΐην.
ὄλβιος, ὃς χείρεσσι πολυκμήτοισιν ἄνακτα.
τίει, καὶ πολλοῖς ἔστι νόμος βιότου.
πάντα τάδ' οὐρανίων πληρώματα ἔπλετο ληνῶν,
αἳ καρποῦ ψυχῶν δέκτριαι ἡμετέρων.
ἄλλης ἀλλοίην ἀρετὴν ἐπὶ χώραν ἀγούσης.
πολλαὶ γὰρ πολλῶν εἰσι μόναι βιότην.
ὄλβιος, ὃς πτωχὸν παθέων μέγα πνεῦμ' ἀνέδειξεν,
ὅς τις ἔχει ζωὴν ἐνθάδε πενθαλέην.
ὅς τις ἐπουρανίης αἰὲν ἀκόρεστος ἐδωδῆς,
ὅς τις ἐνηείῃ κληρονόμος μεγάλων.
ὃς σπλάγχνοισιν ἑοῖσι θεοῦ μέγαν οἶκτον ἐφέλκει,
εἰρήνης τε φίλος, καὶ καθαρὸς κραδίην.
ὃς πολλὰ χριστοῖο μεγακλέος εἵνεκ' ἀνέτλη
ἄλγεα, καὶ μεγάλου κύδεος ἀντιάσει.
τούτων, ἣν ἐθέλεις, τάμνε τρίβον. εἰ μὲν ἁπάσας,
λώϊον. εἰ δ' ὀλίγας, δεύτερον. εἰ δὲ μόνην
ἔξοχα καὶ τὸ φίλον. σταθμά γε μὴν ἄξια πᾶσι,
τοῖσι τελειοτέροις, τοῖσί τε μειοτέροις.

καὶ Ῥαὰβ οὐχὶ δίκοσμον ἔχεν βίον, ἀλλ' ἄρα καὶ τὴν
κλεινὴν ἀειροτάτη θῆκε φιλοξενίη.
ἐκ δὲ μόνης πλέον ἔσχε φαρισαίοιο τελώνης
τῆς χθαμαλοφροσύνης, τοῦ μέγ' ἀειρομένου.
βέλτερον ἀζυγίη. καὶ βέλτερον, ἀλλ' ἐπιμίκτος
κόσμῳ. καὶ χθονίῃ, χειροτέρη δυάδος
σώφρονος. ἀκτεάνων αἰπὺς βίος οὐρεσιφοίτων.
ἀλλὰ τῦφος καὶ τοὺς πολλάκι θῆκε κάτω.
οὐ γὰρ ἐὴν ἀρετὴν ἄλλοις μετρέοντες ἀρίστοις
ἄκειβον ἐν κραδίῃ ὕψος ἔχουσιν ὅτε.
πολλάκι καὶ ζείοντι νόῳ πώλοισιν ὁμοῖα
θερμοτέροις, νύσσης τῆλε φέρουσι πόδα.
τοὔνεκεν ἢ πτερύγεσσιν ἀείρεο πάμπαν ἐλαφραῖς,
ἠὲ κάτω μίμνων, ἀσφαλέως τροχάειν,
μή που βριθοσύνῃ σεῖο πτερὸν ἐς χθόνα νεύσῃ,
μηδὲ πέσῃς ἀρθεὶς πτῶμ' ἐλεεινότατον.
νηῦς ὀλίγη γόμφοισιν ἀρηραμένη πυκινοῖσι,
φόρτον ἄγει μεγάλης πλείονα τῆς ἀδέτου.
στεινὴ μὲν πυλεῶνος ὁδὸς θείοιο τέτυκται,
πολλαὶ δ' ἀτραπιτοὶ ἐς μίαν ἐρχόμεναι,
οἱ μὲν τὴν προτέρων, ὅσοις φύσις ἐνθάδε νεύει,
οἱ δ' ἑτέρην, στεινῆς μούνον ἐφαπτόμενοι.
οὔτε μὴν πάντεσσιν ὁμῶς φίλον ἔπλετ' ἐδωδή,
οὔτε χριστιανοῖς εἷς βίος ἁρμόδιος.
δάκρυα πᾶσιν ἄριστον, ἀϋπνίη τε, πόνοι τε,
καὶ λύσσαν παθέων ἀργαλέων κατέχειν.
αἰχμάζειν τε κόρον, χριστοῦ θ' ὑπὸ χεῖρα κραταιὴν
κεῖσθαι, καὶ τρομέειν ἦμαρ ἐπερχόμενον.

εἰ δ' ἄκρην τελέως ἴοις τρίβον, οὐκέτι θνητός,
ἀλλά τις οὐρανίων. Γρηγορείοιο νόμοι.

## ΕΙΣ ΕΥΓΕΝΗ ΔΥΣΤΡΟΠΟΝ.

Αἵματος ἐξ ἀγαθοῦ τίς; ἅπαν καλόν. ἀνδρὶ γένος μὲν,
οὐ τῶν προπατόρων, τἆλλα δὲ θαυμασίων.
προὔφερε τὶς προγόνους. καὶ ὅς μάλα ἡδὺ γελάσας,
εἶπε λόγον μνήμης ἄξιον, ὡς τὸ γένος
ἐστὶν ὄνειδος ἐμοί γε, γένει δὲ σύ. τοῦτο φύλασσε,
ὡς μὴ τῆς ἀρετῆς ἄλλό τι πρόσθεν ἄγοις:
εἰ δέ σου τίς τὸ δυσειδὲς ἐκέρτομεν, ἢ τὸ δυσῶδες,
εἶπεν ἄν, ὡς ὁ πατὴρ ἦν καλὸς, ἢ μυρίπνους;
εἰ δέ σε τίς ὡς δειλὸν ἐπέσκωπτεν, καὶ ἄνανδρον,
ὡς πρόγονοι πολλὰς εἷλον ὀλυμπιάδας;
οὕτως εἴ σε κακόν τις ἐλέγχει καὶ ἀνόητον,
μή μοι τοὺς πατέρας, μὴ δὲ τὰ νεκρὰ λέγε.
χρυσόδετον κιθάρην τὶς ἔχων, ἔκρεξε κάκιστον:
ἄλλος ἀπ' εἰκαίης, εὐηχὲς ἧκε μέλος:
τίς τούτων ὦ λῷστε ἀμείνων σοι κιθαριστής;
ὃς σώζει τεχνικοῖς κρούμασιν ἁρμονίας.
ἀλλὰ σὺ χρυσῶν μὲν πατέρων ἔφυς, ὥς σε λέγουσιν,
αὐτὸς δ' οὐκ ἀγαθός: εἶτα μέγα φρονέεις;
τοῦτο λαμπρόν σοι γένος ἐστὶν, οἱ προπάλαιοι
νεκροὶ, καὶ μύθων πλάσματα, καὶ γραΐδες;
παίζεις. πρός σε δ' ἔγωγε βλέπω μόνον, εἰ δίκαιός τις,
ἢ κακός. ἡδ' ἀρχὴ, πηλὸς ἅπαντος ἴσος:
δέρματα πάντων ὅμοια, φυσώμεθα δ' οἱ μετέωροι,
πλούτῳ καὶ δόξῃ, καὶ πατρίσι μεγάλαις.

ὥστε

ὥστε τί μοι τὰ παλαιά, πατὴρ, γένος; οὔτε με μῦθοι
τέρπουσ', οὔτε τάφοι. ἀλλ' ἀγαθὲ πρός σε βλέπω.
Εἷς χοῦς πάντων, ἑνὸς πλάστου γένος: ἡ δὲ τυραννὶς
εἰς δύο τὰ θνητῶν ἔσχισεν, οὐχὶ φύσις.
Δοῦλος ἐμοὶ πᾶς σκαιός: ἐλεύθερος, ὅς τις ἄριστος.
εἰ δὲ σὺ τῦφον ἔχεις, εἰπὲ τί πρὸς τὸ γένος;
ἡμιόνοις τί πατὴρ, πόθ' ὁ κάνθων ἐστὶν ὄνειδος;
οὐδέν. τίς δ' ἔτ' ὄνοις δόξα παρ' ἡμιόνων;
οἱ δ' αἐτοὶ τίκτουσι, καὶ οὓς ῥίπτουσι νεοσσούς.
ὥστε τί μοι πατέρας σαυτὸν ἀφεὶς σὺ λέγεις.
κρεῖσσον ἄριστον ἐόντα κακὸν γένος, ἢ κάκιστον
ἔμμεναι εὐγενέτην. καὶ ῥόδον ἐκ τραχέος
ἐβλάστησε φυτοῖο. ῥόδον μὲν, εἰ δ' ἀπὸ γαίης
ἦλθες ἄκανθ' ἁπαλῆς, τοῦ πυρὸς ἄξιος εἶ.
πῶς σὺ κάκιστος ἐὼν, τόσον φρονέεις προγόνοισιν;
ὦ κάνθων μυλικὲ, ἵππιον ὕψος ἔχων.

πρὸς ἑαυτὸν κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

Ποῦ δὲ λόγοι πτερόεντες; ἐν ἠέρι. ποῦ νεότητος
ἄνθος ἐμῆς; ἀπόλωλε. τὸ δὲ κλέος; ᾤχετ' ἄϊστον.
ποῦ σθένος εὐπαγέων μελέων; κατὰ νοῦσος ἔκαμψε.
ποῦ κτῆσις καὶ πλοῦτος; ἔχει θεὸς, ἄλλα δ' ἀλιτρῶν
ἁρπαλέαις παλάμῃσι πόρε φθόνος. οἱ δὲ τοκῆες,
ἠδὲ κασιγνήτων ἱερὴ δυὰς; ἐν τάφον ἦλθον.
μούνῃ μοι πάτρῃ περιλείπεται. ἀλλ' ἄρα καὶ τῇ
ὄρσας οἶδμα κελαινὸν ὁ βάσκανος ἤλασε δαίμων.
καὶ νῦν ξεῖνος ἔρημος ἐπ' ἀλλοτρίης ἀλάλημαι
ἕλκων ζωήν τε λυπρὴν, καὶ γῆρας ἀφαυρόν.

ἄθρονος, ἀπτολίεθρος, ἄπους, τεκέεσι μεμηλώς,
ζώων ἦμαρ ἐπ' ἦμαρ ἀειπλανέεσι πόδεσι.
ποῖ ῥίψω τόδε σῶμα; τί μοι τέλος ἀντιβολήσει;
τίς γῆ; τίς δὲ τάφος με φιλόξενος ἀμφικαλύψει;
τίς δ' ὄσσοις μινύθουσιν ἐμοῖς ἐπὶ δάκτυλα θήσει;
ἦ ῥά τις εὐσεβέων χριστοῦ φίλος; ἦ ῥα κάκιστος;
ταῦτα μὲν αὖρα φέροι. τυτθῆς φρενὸς ἥδε μεληδών.
εἴτε τάφῳ δώσει τις ἐμὸν δέμας, ἄπνοον ἄχθος,
εἴτε καὶ ἀκτορέϊστον ἕλωρ θήρεσι γένοιτο,
θήρεσιν ἠὲ κύνεσιν ἑλώριον, ἢ πετεηνοῖς.
εἰ δ' ἐθέλεις, πυρίκαυστον ἐν ὕδρα χείρεσι πάσσοις,
ἠὲ κατὰ σκοπέλων μεγάλων ῥίψειας ἄτυμβον,
ἢ ποταμοῖσι πύθοιτο, καὶ ὑετίῃσι ῥοῇσιν.
οὐ γὰρ ἄϊστος ἐγὼ μόνος ἔσσομαι οὐδ' ἀσυνάκτος.
ὡς ὄφελον, πολλοῖς τόδε λώϊον. ἀλλ' ἅμα πάντας
ὕστατον ἦμαρ ἄγει πορὰ τὴν ἀπὸ νεύμασι θείοις,
εἴ που καὶ ἀποδίῃ τις, ὀλωλόταθ' ἄψεα νούσῳ.
νῦν δὲ τόδ' αἰάζω, καὶ δείδια βῆμα θεοῖο,
καὶ ποταμοὺς πυρόεντας, ἀφεγγέα τ' αἰνὰ βόρεθρα.
χριστὲ ἄναξ, σὺ δέ μοι πάτρη, σθένος, ὄλβος, ἅπαντα.
σοὶ δ' ἄρ' ἀναψύξαιμι βίον, καὶ κήδε' ἀμείψας.

Θρῆνος διὰ τῶν αὐτοῦ μόγων, καὶ πρὸς χριστὸν
δέησις περὶ λύσεως τοῦ αὐτοῦ βίου.

Γαῖα φίλη, καὶ πόντε, πάτρης πέδον ἀλλοδαπῆς τε,
καὶ νεότης, πολιή τε, βίου δύσι, καὶ πτερόεντες
μῦθοι, μόχθε περισσέ, καὶ ὃς τέκε πνεῦμα φαεινόν,
καὶ πτόλιες, σκόπελοί τε ἐμὸν σκέπας, ὧν διὰ πάντων
ἤλιθον.

ἤλιθον, ἰχανόων χριστοῦ θεότητι πελάσαι,
πῶς μοῦνος τρηχεῖαν ἔβην ὁδὸν ἔνθα καὶ ἔνθα,
στρωφῶν ἀργαλέοιο βίου τύπον. οὐδ' ἐδυνάσθην,
οὐδ' ὅσον ἔν ποτ' ἐλαφρὸν ὑπὲρ χθονὸς ἴχνος ἐρεῖσαι,
ἀλλ' ἀεί με μόγοισι μόγοι πέμπουσι κακοῖσιν.
ὦ σοφίη, σὺ δίδαξον, ὅθεν τόσον ἄχθος ἔμοι γε.
πῶς μόγος εὐσεβέεσσι καὶ οὐ μόγος ὀλλυμένοισιν;
ἦ ῥά τις ἀμπλακίης ποινὴ τάδε; ἦ ῥα βίοιο
ἄνθρακες ὡς χρυσοῖο καθαιρομένου χοάνοισιν;
ἦ ῥά μ' ὁ λυσσώδης καὶ βάσκανος οἷά τιν' Ἰὼβ
εἰς δῆριν καλέει: σὺ δ' ἀλείφατι σόν με παλαιστὴν
τρίψας, εὖ τε πάροιθε μέγαν γυμνοῖς πρὸς ἀγῶνα,
ὥς κεν ἀεθλεύσαντι γέρας καὶ κῦδος ὀπάσσῃς.
ταῦτα μὲν αὐτὸς ἄναξ οἶδας λόγε. καὶ γὰρ ἅπαντα
κόσμον ἄγεις, μεγάλοισι λόγοις κρυπτοῖσιν ἑλίσσων.
ὧν ὀλίγη τις πάμπαν εἰς ἡμέας ἔρχεται αὐγὴ
τηλὸν ἔτ' εἰλυμένους, καὶ ὄμματα νωθρὰ φέροντας.
αὐτὰρ ἐγὼ κέκμηκα βίῳ, τυτθὸν δ' ὑπὲρ γαίης
ἆσθμα φέρω, πολλῇσιν ἐλαυνόμενος κακότησι,
δυσμενέων, φιλίων τε. τὸ, καὶ πολιώσιον ἄλγος.
τοὔνεκεν αἰάζω. πίπτω δ' ὑπὸ γούνασι σεῖο.
Δὸς λῦσιν βιότοιο νεκρῷ σέο. δὸς καμάτοιο
ἄμπνευσιν. ζωῆς δέ μ' ἐλαφροτέρης ἐπίβησον,
ἧς χάριν ἀχνύω, καὶ κήδεα μυρί' ἀνέτλην.
ἀγγελικαῖς δὲ χοροῖσι φέρων πελάσειας ὀπίσσω
οὐρανίου πυλεῶνος, ὅθι κλέος ἀστράπτοντος
τριασσοῖς ἐν φαέεσσιν ἑνὸς μεγάλοιο θεοῖο.

# ΥΜΝΟΙ ΕΙΣ ΧΡΙΣΤΟΝ ΜΕΤΑ τὴν σιωπὴν, ἐν τῷ πάσχα.

Χριστὲ ἄναξ σε πρῶτον, ἐπεὶ λόγον ἦρι δέδωκα,
δηναιὸν κατέχων, φθέγξομ' ἀπὸ στόματος:
ἁγνοτάτου ἱερῆος ἁγνὸν θύος: εἰ θέμις εἰπεῖν,
τόνδε λόγον προχέων ἡμετέροιο νόου.
πατροφαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου,
φωτός τ' ἀκροτάτου φῶς ἄκρον, υἱογόνε,
εἰκὼν ἀθανάτοιο πατρὸς, καὶ σφρηγὶς ἀνάρχου,
πνεύματι τῷ μεγάλῳ συμφαὲς εὐρυμέδου
αἰῶνος πείρημα, μεγακλεὲς, ὀλβιόδωρε,
ὑψίθρον' οὐράνιε, πανσθενὲς ἆσθμα νόου,
νωμητὰ κόσμοιο, φερέσβιε, δημιοεργὲ
ὄντων, ἐσσομένων. σοὶ γὰρ ἅπαντα πέλει,
ὃς κόσμοιο θέμεθλα, καὶ ὁππόσα ἐστὶ θέλοντος,
δησάμενος φορέεις νεύμασιν ἀπλανέως.
σοὶ μὲν ἄναξ φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόας,
σοὶ ζώει, φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτὸς,
μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χορείης,
ὥραις μέτρα φέρει ἤπια κιρναμέναις.
ἀπλανέες τε πλάνοι τε παλίμπορον ἀΐσσοντες
ἀστέρες, ἠγαθέης εἰσὶ λόγος σοφίης.
σὸν φάος εἰσὶν ἅπαντες, ὅσοι νόες οὐρανίωνες
μέλπουσι τριάδος δόξαν ἐπουρανίης.
σὸν βροτὸς αὖ κλέος ἐστὶν, ὃν ἄγγελον ἐνθάδε ἔθηκας
ὑμνοπόλον τῆς σῆς ὦ φάος ἀγλαΐης.

ἀμβρο-

ἄμβροτέ μοι βροτέη τε, παλιγγενὲς υἷος ἄσαρκον,
ὑπάτιον θνητῶν σώμασι σαρκοφόρε,
σοὶ ζῶ, σοὶ λαλέω, σοί δ' ἔμπνοος εἰμὶ θυηλὴ,
ἣ μούνη κτεάνων λείπετ' ἀφ' ἡμετέρων.
σοὶ καὶ γλῶσσαν ἔδηκα, καὶ οὔασι μῦθον ἔλυσα.
λίσσομαι. ἀλλὰ πόροις ἀμφότερ' εὐαγέως.
φθέγξομαι, ὅσσ' ἐπέοικεν: ἃ δ' οὐ θέμις, οὐδὲ νοήσω.
ῥύσω μαργάριον, βόρβορον ὡσάμενος,
χρυσὸν ἀπὸ ψαμάθοιο, ῥόδον κραναῆς ἀπ' ἀκάνθης.
λέξομ' ἀπ' ἀσταχύων σῖτον, ἀφεὶς καλάμην.
ταῦτά σοι ἡμετέροιο θαλύσια χριστὲ πόνοιο
γλῶσσ' ἀπερευγομένη πρῶτον ἀνῆψεν ἔπος.
σήμερον ἐκ νεκύων ἔπος χριστὸς μέγας οἷσιν ἐμίχθη,
ἔγρετο καὶ θανάτου κέντρον ἀπεσκέδασε,
καὶ ζοφεροὺς πυλεῶνας ἀμειδήτου ἀΐδαο
ῥήξατο, καὶ ψυχαῖς δῶκεν ἐλευθερίην.
σήμερον ἐκ τύμβοιο θορὼν μερόπεσσι φαάνθη,
οἷς γένεθ', οἷσι θάνεν, οἷς ἔγρετ' ἐκ νεκύων,
ὥστε παλιγγενέες τε, καὶ ἐκ θανάτοιο φυγόντες,
σοὶ συναειρώμεσθ' ἔνθεν ἀνερχομένῳ.
σήμερον αἰγλήεις σε μέγας χορὸς ἀμφιγέγηθεν
ἀγγελικὸς, μέλπων ὕμνον ἐπιστέφιον.
σήμερον ἦχον ἔπνευσα, μεμυκότα χείλεα σιγῇ
λύσας, ἀλλά μ' ἔχεις ὑμνοπόλον κιθάρην.
νῷ νόον ἔνδον ἔρεξα, λόγῳ λόγον, αὐτὰρ ἔπειτα
ῥέξω καὶ μεγάλῳ πνεύματι, ἥν ἐθέλῃ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-185621-p0051-4

ταυτοθελησο. de Cho oīa obedienter patiente dixit Damasc.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-185621-p0052-9

Ce 611: 8
(X 220 3041)
M

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-185621-p0053-5

[illegible]
uit aduersus humani gene
ris communem principem repug
natiuum deduxit: ducem
quendam et magistrum mili
cie sue scientem diuina pla
gere: et uirtutum castra duc
tare. Iste adueniens ex orientis
partibus: ut celestis quidam ne
gociator: et mercimonia diuini
luminis si quis sit comparare
paratus aduexit: et salutaris p

[illegible] omnibus permanentem [illegible]
pus ab obsecrando desisti[illegible]
quam que orauerant im[illegible]
petrarent. Et hec fuit cau[illegible]
tendi: quod scilicet marcum [illegible]
citur euangelium. Petrus [illegible]
per spiritum sanctum religiose spolia[illegible]
comperit furto delectatus [illegible]
dem eorum per hec deuotione[illegible]
considerans: firmique con[illegible]
uit: et in perpetuum legendam [illegible]
scripturam ecclesiis tradid[illegible]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-185621-p0054-0

# DIVI GREGORII NAZIANZENI:

## Poematum quædam selectiora:

Seorsim edita in vsum Græcæ linguæ & sinceræ pietatis studiosorum. Quin enim huius summi theologi scripta omnia theologis ipsis cognoscenda sint, dubium esse nemini potest. Quos vero hinc arceat, ostendit ipse hoc suo epigrammate,

κατὰ τοῦ πονηροῦ.

Φεῦγ' ἀπὸ τᾶς γραμμᾶς ὦ βάρβαρε, μή με δόχλει:
φεῦγε πονηρὸς ἅπας: Χριστὸς ἐμοὶ γράφεται:
Μή με φύγῃ τὸ νόημα συνηγμένον: ἔρρετε πάντες,
ὃς μὴ Χριστὸς ἄγει τῆλ' ἀπὸ τῶν χθονίων.

*A tabula procul hinc fuge barbare: & esse molestus*
*Desine: ego Christum pingo: fuge ergo procul:*
*Ne mihi turbetur bene mens collecta: perite,*
*Qui Christo duce non tenditis ad superos.*

*ROSTOCHII*
*Typis Stephani Myliandrj.*
CIↃ. IↃ. XXCII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-185621-p0055-6